

Ὄψεϊ ὄψιν ἔχεις κραδίης σέ φέροντος ἔσωθεν
Σκαρλάτη Στούρζα κύδιμε Θεοτόκη!

# ΣΤΟΙΧΕΙΑ
# ΓΕΩΓΡΑΦΙΑΣ

ΕΡΑΝΙΣΘΕΝΤΑ

ὑπὸ τοῦ Ἀρχιεπισκόπου

**ΝΙΚΗΦΟΡΟΥ** τοῦ **ΘΕΟΤΟΚΟΥ**

πλείστοις δὲ Σημειώμασι καὶ Σχήμασι πλουτισθέντα

ὑπὸ

**ΑΝΘΙΜΟΥ ΓΑΖΗ**

νῦν πρῶτον τύποις ἐκδοθέντα, φιλοτίμῳ Δαπάνῃ τῶν Αὐταδέλφων

**ΚΥΡΙΩΝ ΖΩΣΙΜΑΔΩΝ**

ἵνα διανέμωνται δωρεὰν εἰς χρῆσιν τῶν Ἑλληνικῶν Φροντιστηρίων.

Ἐπιστασίᾳ ἸΩΝΑ τοῦ ἐκ Μονῆς Κλήμεντος τῆς ἐν Ὀλύμπῳ.

Ἐν Βιέννῃ τῆς Αὐστρίας.
ἐν τῇ τυπογραφίᾳ Γ. Βενδώτη.

1804.

ΒΙΒ...ΘΗΚΗ ΤΗΣ ΒΟΥΛΗΣ ΤΩΝ ΕΛΛΗΝΩΝ

## ΤΟΙΣ ΦΙΛΟΜΑΘΕΣΙ ΠΑΙΣΙ ΤΩΝ ΕΛΛΗΝΩΝ.

Ἀναμφιβόλως, ὦ φιλόμουσοι παῖδες Ἑλλήνων, εἴμεθα εὐέλπιδες διὰ τὴν τῆς γλώττης ϗ δεσποίνης ἡμῶν Φιλοσοφίας ἐπὶ τὰ πρόσω καλλιέργειάν τε ϗ ἐπίδοσιν. Ἡ ἙΛΛΑΣ δὲν εἶναι πλέον εἰς τὴν κατάστασιν ὅπου εὑρίσκετο πρό τινων χρόνων, ὅπερ πᾶς τις σαφῶς ὁμολογεῖ. Τώρα ἄναψεν ὁ πρὸς τὰς Μούσας ἔνθερμος ζῆλος, τώρα ἐνθουσιωδῶς λάμπει εἰς πολλοὺς τὸ φιλογενὲς, ϗ ἀγωνίζονται πάντες κατὰ δύναμιν, νὰ ἀνακαλέσουν, ϗ νὰ ἐπιστρέψουν πάλιν σὺν τόκῳ τὰς Μούσας εἰς τὸν πάλαι ποτὲ θρόνον αὐτῶν, ϗ τὴν σήμερον δὲν

πάνυσιν, ἄλλοι μὲν συγγράφοντες, ἄλλοι δὲ εἰς πολλὰ μέρη πολλὰ εἴδη βιβλίων μεταφράζοντες, ἄλλοι δὲ τέως συνεισφέρυσιν εἰς τὴν ἔκδοσιν αὐτῶν, ὅλοι ὁμῦ πρὸς τὴν τῦ γένους ἐπίδοσιν ἀφορῶντες.

Ἀλλὰ πρὸ πάντων μᾶλλον, ϗ πρεπόντως γνωρίζει ἡ δυςυχὴς Ἑλλὰς τὸ φιλογενὲς καὶ ὄντως φιλάγαθον τῆς τετρακτύος ἀδελφότητος τῶν ΚΥΡΙΩΝ ΖΩΣΙΜΑΔΩΝ, οἱ ὁποῖοι δικαίως καλῦνται κοινοὶ ϗ πρῶτοι εὐεργέται τῦ Γένυς, ϗ ὐδεὶς ἐςὶ τῶν συμπάντων, ὃς μὴ τὰς ἐν τῇ Ἑλλάδι Ζωσιμαίας εὐεργεσίας καὶ χάριτας συνορᾷ ϗ λαπρῶς διαθρυλλεῖ.

Πόσην εὐεργεσίαν ἔδειξαν εἰς ταύτην τὴν φιλτάτην ἡμῶν Ἑλλάδα, τόσον πλυτισμὸν τῆς μαθήσεως, πόσην περιποίησιν δεικνύουσι καθ᾽ ἑκάςην εἰς τὰ Μ**τοτροφεῖα ϗ εἰς πτωχὺς μαθητὰς, πόσα συγγράμματα παλαι-

ῶντε καὶ νεωτέρων ἀνέκδοτα ὄντα, εἰς φῶς φιλοκαγάθως προήγαγον, καὶ δωρεὰν διένεμον τοῖς ἁπανταχοῦ τούτων διψῶσι· καὶ οὕτω μὲν αὐτοὶ ἐνθουσιωδῶς καὶ φιλογενῶς ἔχοντες διατελοῦσι περὶ τὰς Μούσας, καὶ τῷ οἰκείῳ ὑποδείγματι πάντας ἡμᾶς διεγείρουσι· Ὡς καὶ νῦν ἤδη χαριζόμενοι ἡμῖν τοῖς παισὶ τῶν Ἑλλήνων, ἔσπευσαν μεγαλοφρονέστατα ἐκδοῦναι εἰς τὸ αἰσθητὸν τοῦτο φῶς, καὶ τὴν παροῦσαν, ἣν ἀναχεῖρας ἔχετε Γεωγραφίαν, ἥτις συνερανίσθη μὲν ὑπὸ τοῦ ἀοιδίμου ἐκείνου Ἀρχιεπισκόπου πρώην Ἀστραχανίου ΚΥΡΙΟΥ ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΘΕΟΤΟΚΟΥ, τὰς διατριβὰς ἔτι ποιουμένου ἐν Ἰασίῳ τῆς Μολδαυΐας κατὰ τὸ 1774. ἔτος, εἰς χρῆσιν τῶν αὐτοῦ μαθητῶν· Ἐπλουτίσθη δὲ πλείστοις σημειώμασι καὶ σχήμασι κατὰ τὰς νεωτέρας διαιρέσεις, ὑπὸ τοῦ Ἀρχιμανδρίτου ΑΝΘΙΜΟΥ ΓΑΖΗ τοῦ Μηλιώτου.

Δέξασθε ἐν ταύτην εὐγνωμόνως φιλόμουσοι παῖδες Ἑλλήνων, δῶρον ἐπωφελὲς τῶν ΚΥΡΙΩΝ ΖΩΣΙΜΑΔΩΝ, ἢ χάριτας αὐτοῖς ἀπείρους ὡς εἰκὸς ὁμολογεῖτε, λιπαρὰς πρὸς Θεὸν εὐχὰς προσάγοντες, ἵνα διασώζῃ τούσδε τοὺς εὐεργέτας ἡμῶν ἐπιμήκιστον. Ἔρρωσθε.

Τῇ κβ΄. Δεκεμβρίου ἔτει αωγ.
ἐν Βιέννῃ τῆς Αὐστρίας.

Ἰωνᾶς ὁ ἐκ τῆς τοῦ
Κλήμεντος Μονῆς.

# ΠΙΝΑΞ
## ΤΩΝ ΚΕΦΑΛΑΙΩΝ.

### ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.


| | Σελ. |
|---|---|
| Περὶ τῶν πρὸς κατάληψιν τῆς Γεωγραφίας. . . . | 1 |
| Περὶ Γεωγραφίας. . . . . . . . . . . . . | 4 |
| Περὶ τῆς Κρικωτῆς Σφαίρας. . . . . . . . . . | 7 |
| Περὶ τῶν ἐν τῇ Κρικωτῇ Σφαίρᾳ Κύκλων. . . . | 9 |
| Περὶ τῶν τῆς Σφαίρας Θέσεων. . . . . . . . | 14 |
| Περὶ τῆς τεχνητῆς Οὐρανίου Σφαίρας ϗ Ἀςέρων. . | 18 |
| Περὶ Πλανητῶν Ἄςρων. . . . . . . . . . | 29 |
| Περὶ Ἡλίου. . . . . . . . . . . . . . . | 31 |
| Περὶ Σελήνης. . . . . . . . . . . . . . | 33 |
| Περὶ ἐκλείψεως Ἡλίου ϗ Σελήνης. . . . . . . | 36 |
| Περὶ Ἀςρονομικῶν Δογμάτων. . . . . . . . . | 38 |
| Περὶ τῶν λοιπῶν Πλανητῶν ϗ Κομητῶν. . . . | 42 |
| Περὶ Γῆς, ϗ τῆς αὐτὴν ἐμφαινούσης τεχνητῆς Γηΐνης Σφαίρας. . . . . . . . . . . . . | 44 |
| Περὶ τῶν ἐν Γῇ Ζωνῶν. . . . . . . . . . | 48 |
| Περὶ τῶν ἐν Γῇ Κλιμάτων. . . . . . . . . | 49 |
| Περὶ Πλάτους ϗ Μήκους. . . . . . . . . . | 50 |
| Περὶ Οἰκήσεων. . . . . . . . . . . . . . | 52 |
| Περὶ χρήσεως τῆς γηΐνης τεχνητῆς Σφαίρας. . . | 53 |
| Περὶ Γεωγραφικῶν Πινάκων, ἤτοι Χαρτῶν. . . . | 58 |
| Περὶ τῶν Παλαιῶν ϗ νέων Γεωγραφικῶν Μέτρων. . | 60 |


### ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.


| | |
|---|---|
| Περὶ Φυσικῆς τῆς Γῆς διαιρέσεως. . . . . . | 62 |
| Περὶ Πολιτικῆς τῆς Γῆς διαιρέσεως. . . . . . | 64 |
| Περὶ τῆς Εὐρώπης ϗ τῶν ἐν αὐτῇ Διοικήσεων. . . | 65 |
| Περὶ τῆς καθολικῆς τῆς Εὐρώπης διαιρέσεως. . . | 68 |
| Γεωγραφικὴ διαίρεσις τῆς Εὐρώπης. . . . . . | 69 |

Σελ.

Περὶ τῆς Λυσιτανίας, ἢ Λυσιτανιας, τετέσι τῆς Πορταγαλλίας. . . . . . . . . . . . 73
Περὶ τῆς Ἰβηρίας, ἤτοι Ἱσπανίας. . . . . . . 80
Περὶ τῆς Κελτογαλλίας, εἴτεν Γάλλιας. . . . . 89
ΝΕΩΤΕΡΙΚΗ ΔΙΑΙΡΕΣΙΣ ΤΗΣ ΓΑΛΛΙΑΣ. . 97
Περὶ τῆς Γερμανίας. . . . . . . . . . . . 102
ΝΕΩΤΕΡΙΚΗ ΔΙΑΙΡΕΣΙΣ ΤΗΣ ΓΕΡΜΑΝΙΑΣ. . 114
Περὶ τῆς Ἐλυητίας, ἢ Ἐλβετίας. . . . . . . 121
Περὶ τῆς Ἰταλίας. . . . . . . . . . . . 127
ΝΕΩΤΕΡΙΚΗ ΔΙΑΙΡΕΣΙΣ ΤΗΣ ΙΤΑΛΙΑΣ. . 133
Περὶ τῆ Βελγίε. . . . . . . . . . . . . 136
Περὶ τῆς Ἀριστοκρατίας τῶν ἑπτὰ Οὐνίτων ἐπαρχιῶν, εἴτεν περὶ τῆς Ὀλάνδας. . . . . . . . 140
Περὶ τῆς μεγάλης Βρετανίας. . . . . . . . . 158
Τὰ περὶ τῆς Δανίας, ἤτοι Δανιμάρκας. . . . . 161
Περὶ τῆς Νορυεργίας, ἢ Νορβεγίας, τῆς ἢ Νηρίγυ. 167
Περὶ τῆς Συηκίας, ἢ Σβεκίας, ἢ Σβετζίας. . . 172
Περὶ Ῥωσσίας, ἢ Μοσκοβίας. . . . . . . . . 177
Νεωτερικὴ διαίρεσις τῆς Ῥωσσίας. . . . . . . 183
Περὶ τῆς Πρυσίας. . . . . . . . . . . . 186
Νεωτερικὴ διαίρεσης τῆς Πρυσίας. . . . . . . 190
Περὶ τῆς Πολωνίας, ἢ Λεχίας. . . . . . . . 191
Διαίρεσις τῆς Πολωνίας. . . . . . . . . . 196
Περὶ τῆς Οὐγγαρίας. . . . . . . . . . . 197
Νεωτερικὴ διαίρεσις. . . . . . . . . . . . 200
Περὶ τῆς Εὐρωπαίας Τερκίας. . . . . . . . 201
Διαίρεσις αὐτῆς. . . . . . . . . . . . . 207
Περὶ τῆς Ἀσίας. . . . . . . . . . . . . 208
Γενικὴ διαίρεσις τῆς Ἀσίας. . . . . . . . . 222
Περὶ τῆς Λεβύης εἴτεν Ἀφρικῆς. . . . . . . 223
Γενικὴ διαίρεσις τῆς Ἀφρικῆς. . . . . . . . 230
Περὶ τῆς Ἀμερικῆς. . . . . . . . . . . . 232
Γενικὴ διαίρεσις τῆς Ἀμερικῆς. . . . . . . . 244

# ΓΕΩΓΡΑΦΙΑΣ ΣΤΟΙΧΕΙΩΝ.

## ΒΙΒΛΙΟΥ ΠΡΩΤΟΥ.

### ΚΕΦΑΛΑΙΟΝ Α'.

### Περὶ τῶν πρὸς κατάληψιν τῆς Γεωγραφίας ἀναγκαίων τοῖς ἀγεωμέτ;οις εἰδήσεων.

§. 1.

Γραμμή ἐςι· Μῆκος, Πλάτυς καὶ Βάθυς ἄμοιρον· Σημεῖα δὲ τὰ πέρατα αὐτῆς.

§. 2. Εὐθεῖα μὲν Γραμμὴ (α) ἧς τὰ ἄκρα ἐπιπροσθεῖ τοῖς μέσοις· Καμπύλη (β) δὲ, ἧς τὰ ἄκρα τοῖς μέσοις ὀκ ἐπιπροσθεῖ.

§. 3. Γωνία δὲ πτῶσις Γραμμῆς ἐπὶ Γραμμὴν· (γ) ἢ ἡ μὲν Εὐθεῖα ἑκατέρα αὐτῶν, Εὐθύγραμμος ἡ γωνία, ἡ δὲ Καμπύλη Καμπυλόγραμμος, εἰ δὲ θατέρα μὲν εὐθεῖα, ἡ δὲ ἑτέρα καμπύλη, Μικτόγραμμος. (δ)

---

'Αναγκαῖον ἔδοξέ μοι νὰ προςεθῶσιν οἱ τρεῖς πρῶτοι Πίνακες πρὸς κατάληψιν τῶν ἀναγκαίων τοῖς Γεωγραφοῦσι τῆς Γεωμετρίας εἰδήσεων.

(α) Σχ. 1. (β) Σχ. 2. (γ) Σχ. 3. (δ) Σχ. 5. ἡ α. β.

§. 4. Ἐὰν Γραμμὴ ἐπὶ γραμμῆς ςαθεῖσα, τὰς ἐφεξῆς γωνίας ἴσας ποιῇ, Ὀρθὴ ἐςιν ἑκατέρα τῶν ἴσων γωνιῶν (α). Ἀμβλεῖα δὲ γωνία ἡ μείζων ὀρθῆς (β). Ὀξεῖα δὲ ἡ ἐλάσσων. (γ)

§. 5. Ἡ ὀρθὰς ποιῦσα γωνίας γραμμὴ, Κάθετος λέγεται. (δ).

§. 6. Ἐπίπεδον ἢ Ἐπιφάνεια τὸ μῆκος καὶ πλάτος ἔχον, βάθος δὲ μηδαμῶς.

§. 7. Τῶν ἐπιφανειῶν Εὐθύγραμμος μὲν ἡ ὑπὸ εὐθειῶν, Καμπυλόγραμμος δὲ ἡ ὑπὸ καμπύλης ἢ καμπύλων, Μικτόγραμμος δὲ ἐπιφάνεια ἡ ὑπὸ εὐθειῶν ϗ καμπύλων γραμμῶν περατυμένη. (ε)

§. 8. Γραμμαὶ παράλληλοι, ὡσαύτως ϗ ἐπιφάνειαι, αἱ ὑπ' ἀλλήλων ἐπίσης ἀπέχυσαι, ϗ μηδέποτε συμπίπτυσαι. (ϛ)

§. 9. Ἡ μὲν τῶν Γραμμῶν κοινὴ τομὴ, Σημεῖον· ἡ δὲ τῶν ἐπιφανειῶν, Εὐθεῖα.

§. 10. Ἐπιφάνεια πρὸς ἐπιφάνειαν ὀρθή ἐςιν, ὅταν αἱ τῇ κοινῇ τῶν ἐπιφανειῶν τομῇ πρὸς ὀρθὰς ἀγόμεναι εὐθεῖαι μιᾷ τῶν ἐπιφανειῶν, τῇ λοιπῇ ἐπιφανείᾳ πρὸς ὀρθὰς ὦσι.

§. 11. Κύκλος ἐςὶν ἡ ὑπὸ μιᾶς Καμπύλης γραμμῆς περατυμένη περιφερὴς ἐπιφάνεια· ἐν ᾗ πᾶσαι αἱ ὑπὸ τῦ μέσυ σημείυ ἐπὶ τὴν εἰρημένην καμπύλην ἐπιζευγνύμεναι Εὐθεῖαι ἴσαι ἀλλήλαις. (ζ)

---

(α) Σχ. 3. ὡς ἡ γ. δ. (β) Σχ. 6. ἡ α. (γ) Σχ. 6. τὸ Ο ϗ σχ. 7. ἡ α. (δ) Σχ. 3. ἡ α. ϗ β. (ε) Σχ. 4. (ϛ) Σχ. 8. (ζ) Σχ. 5. τὸ ΑΠΡΦ ἐςω ἡ Περιφέρεια, τὸ Κ. Κέντρον, ἡ α. γ. Ἡμιδιάμετρος, ἡ ΔΜ διάμετρος ἡ ΔΦΡ ἡμικύκλιον.

Καὶ τὸ μὲν μέσον σημεῖον Κέντρον καλεῖται· ἡ δὲ Καμπύλη γραμμὴ Περιφέρεια· αἱ δὲ ἀπὸ τοῦ κέντρου ἐπὶ τὴν περιφέρειαν ἐπιζευγνύμεναι εὐθεῖαι, Ἡμιδιάμετροι. ἡ δὲ διὰ τοῦ κέντρου διϊοῦσα, καὶ ὑπὸ τῆς περιφερείας περατουμένη Διάμετρος. ἡ δὲ ὑπὸ τῆς διαμέτρου καὶ τοῦ ἡμίσεως τῆς περιφερείας περατουμένη μικτόγραμμος ἐπιφάνεια, Ἡμικύκλιον.

§. 12. Γίνεται δὲ ὁ κύκλος, ἐὰν εὐθεῖα περιενεχθεῖσα, τοῦ ἑτέρου τῶν περάτων αὐτῆς ἀκινήτου μένοντος, ἀποκατασταθῇ, ὅθεν ἤρξατο φέρεσθαι.

§. 13. Παντὸς δὲ κύκλου ἡ περιφέρεια εἰς 360 μέρη ἴσα μερίζεται, Μοίρας καλούμενα· πᾶσα δὲ μοῖρα εἰς 60, ἅπερ λεπτὰ πρῶτα προσαγορεύεται· πᾶν δὲ Λεπτὸν πρῶτον εἰς 60, Λεπτὰ δεύτερα καλούμενα, καὶ ἐφεξῆς ὡσαύτως. (α)

§. 14. Σφαῖρά ἐστι σῶμα περιφερὲς, ἐν ᾧ πᾶσαι αἱ ἀπὸ τοῦ μέσου σημείου ἐπὶ τὴν σφαιρικὴν ἐπιφάνειαν ἀγόμεναι εὐθεῖαι ἴσαι ἀλλήλαις εἰσίν.

§. 15. Γίνεται δὲ ἡ Σφαῖρα, ἐὰν ἡμικύκλιον περὶ τὴν ἰδίαν διάμετρον περιενεχθὲν, ἀποκατασταθῇ ὅθεν ἤρξατο φέρεσθαι· καλεῖται δὲ Γεννήτωρ ὁ κύκλος ἐξ οὗ ἡ Σφαῖρα γίνεται.

§. 16. Τὸ μὲν τοῦ γεννήτορος κύκλου κέντρον, καὶ τῆς Σφαίρας κέντρον ἐστιν, ἡ δὲ Διάμετρος αὐτοῦ Ἄξων τῆς Σφαίρας λέγεται, οὗτινος τὰ πέρατα Πόλοι τῆς Σφαίρας. (β)

§. 17. Τῶν ἐν τῇ Σφαίρᾳ ἀπειροαρίθμων κύκλων μέ-

(α) Σχ. 9. (β) Σχ. 10. τὸ α. ε. ο. ὁ Ἄξων καὶ τὸ ΑΒ οἱ Πόλοι.

γιςοι μὲν οἱ διὰ τοῦ κέντρου αὐτῆς διερχόμενοι, οἱ ϗ δίχα ἀλλήλους τέμνοντες· τῶν δὲ λοιπῶν, οἱ μὲν Ἐγγύτεροι τοῦ κέντρου μείζονες, οἱ δὲ ἀπώτεροι Ἐλάσσονες.

§. 18. Παντὸς δὲ κύκλου τῶν ἐν τῇ Σφαίρᾳ Πόλοι δύω σημεῖα ἐν τῇ ἐπιφανείᾳ αὐτῆς, ἀφ' ὧν πᾶσαι αἱ πρὸς τὴν περιφέρειαν τοῦ κύκλου ἀγόμεναι πρὸς ὀρθὰς εὐθεῖαι, ἴσαι ἀλλήλαις εἰσίν.

§. 19. Ἔλλειψίς ἐςιν ἐπιφάνεια καμπυλόγραμμος ἐκ Κώνου τομῆς γινομένη, ἧς ἄνισοι αἱ Διάμετροι. Δύω δὲ σημεῖα ἐπὶ τῆς μείζονος αὐτῆς Διαμέτρου ὁρίζονται Ἐςίαι καλούμεναι. (α)

## ΚΕΦΑΛΑΙΟΝ Β'.

## Περὶ Γεωγραφίας.

§. 20. Γεωγραφία (1) ἐςὶ Γῆς περιγραφὴ Μαθηματική, Φυσική, ϗ Πολιτική. Τούτων ἡ μὲν Μαθηματική, περὶ μήκους ϗ πλάτους ϗ ἀποςήματος ϗ μεγέθους τῆς γῆς ϗ τῶν μερῶν αὐτῆς διαλαμβάνει. Ἡ δὲ Φυσική, περὶ ἠπείρου ϗ νήσων ϗ ὀρέων, ϗ Ἰσθμῶν, καὶ θαλασσῶν, ϗ κόλπων, οὕτως ὡς ἔχουσι κατὰ φύσιν, οὐμὴν ἀλλὰ ϗ περὶ καιρῶν, ϗ ἀέρος, ϗ θερμότητος, ϗ ψύχους (β), ἡ δὲ Πολιτικὴ περὶ τῆς ὑπὸ τῶν ἀνθρώ-

---

(α) Σχ. 11. ϗ 12. τὸ α. β. Ἑςίαι.

(β) *Φέρε δὴ τῇ τοιαύτῃ πολυμαθίᾳ προσθῶμεν τὴν ἐπίγειον ἱςορίαν, οἷον ζώων, ϗ φυτῶν, ϗ τῶν ἄλλων, ὅσα χρήσιμα, ἢ δύσχρηςα φέρει γῆ τε ϗ θάλασσα...., ϗ τὸ ὄφελος μέγα παντὶ τῷ παραλαβόντι τὴν τοιαύτην ἱςορίαν.... Πάντα γὰρ ταῦτα παρασκευάζει τινὰς εἰς φρόνησιν μεγάλας, τοῦ μαθεῖν τῆς χώρας τὴν φύσιν· ϗ ζώων ἢ φυτῶν ἰδίας, προσθῆναι δὲ*

πων γενομένης διαιρέσεως τῆς Γῆς εἰς Χώρας, ϗ Ἐπαρχίας, ϗ Βασιλείας. (α)

(1) Καὶ ἔστι Γεωγραφία κατ᾽ ἐκείνους (τοὺς Παλαιοὺς) μίμησις διὰ γραφῆς τοῦ κατειλημμένου ὅλου μέρους τῆς Γῆς, μετὰ τῶν ὡς ἐπίπαν συνημμένων αὐτῇ· ἴδιον δὲ φασιν αὐτῆς τὸ μίαν ϗ συνεχῆ δεικνύειν τὴν ἐγνωσμένην Γῆν, ὡς ἔχει φύσεώς τε ϗ θέσεως, μέχρι μόνον τῶν ἐν ὅλαις περιγραφαῖς αὐτῇ συνημμένων· ϗ τοιαύτη μὲν ἡ Γεωγραφία, ἔργον ἔχουσα περὶ τὴν τῆς γῆς ἁπάσης ὁλότητα καταγίνεσθαι ὁλοσχερέστερον, ϗ οὐ πρὸς λεπτὴν διεξόδευσιν. ἡ μέντοι Χωρογραφία, περιήγησις μὲν ἐστι ϗ αὐτή, ϗ περίοδος γῆς, καθὰ ϗ ἡ Γεωγραφία, πλὴν οὐχὶ τῆς ὅλης, ἀλλὰ μέρους τινὸς αὐτῆς, ϗ ὡς εἰπεῖν χώρας, ἢ χωρῶν, ἢ χωρίων τινῶν. Εὐστάθ. ὁ Θεσσαλ. ἀρχιεπ. ἐν τῇ πρὸς τὸν Λοῦκαν ἐπιστολῇ· ὅρα τὴν οἰκουμ. περιήγησιν τοῦ Διονυσίου, τὴν κατὰ τὸ ὀξόν. ἔτει 1750 ἐκδοθεὶς μετὰ τῶν τοῦ εὐσταθ. ὑπομνημονευμάτων.

§. 21. Τῇ πολιτικῇ δὲ Γεωγραφίᾳ οὐκ ἀπεικότως, ϗ περὶ γένους, ϗ θρησκείας, ϗ ἤθους, ϗ νόμων, ϗ εὐπορίας, ϗ δυνάμεως τῶν ἐπὶ γῆς δεσποτειῶν συνέζευκταί τε, ϗ συμμέμικται ἱστορία. (β)

---

ϗ τὰ τῆς θαλάσσης.... διότι τῆς Γεωγραφίας τὸ πλέον ἐστὶ πρὸς τὰς χρείας τὰς πολιτικάς. Στρ. βιβ. Α'.

(α) Ταύταις προςτίθηνται ϗ ἡ Ἠθικὴ Γεωγραφία, ἡ Ἐμπορική, ϗ ἡ Θεολογική, ἡ μὲν περὶ τὰ ἤθη ϗ χαρακτηριστικὰ τῶν Ἐθνῶν καταγίνεται· ἡ δὲ περὶ τῶν Προϊόντων διαφόρων Ἐπαρχιῶν, ϗ περὶ ἐμπορείας· ἡ δὲ περὶ τῶν διαφόρων θρησκειῶν ϗ δογμάτων.

(β) Ἔστι δὲ ϗ ἡ Γεωγραφία πρὸς τὰς ἡγεμονικὰς χρείας, ἔχοι ἄντι πλεονέκτημα ϗ αὐτὴ παρὰ τοῦτο, ἀλλὰ τοῦτο μὲν τὸ πλεονέκτημα πρὸς τὰς πράξεις.. Στρ.

§. 22. Ἐπεὶ δὲ ἡ Γῆ μέρος τοῦ παντός ἐστι, ϗ τὰ ἐν αὐτῇ φαινόμενα ἀσχέτως, ϗ δίχα τῶν ἄλλων τοῦ κόσμου μερῶν θεωρῆσαι ἀμήχανον, ϗ περὶ Οὐρανοῦ, ϗ Ἀστέρων, ϗ Πλανητῶν μικρόν τι δεῖ τὴν Γεωγραφίαν διαλαμβάνειν. Ἔνθεντοι ἀναγκαίως ὁ Γεωγράφος, καὶ Οὐρανογράφος ἀναδείκνυται. (α)

§. 23. Τρεῖς οὖν κατασκευάζονται τεχνηταὶ Σφαῖραι, ὧν ἡ μὲν τὸν οὐρανὸν ϗ τὴν γῆν ἐμφαίνουσα, Σφαῖρα Κρικωτή, ἢ Πτολεμαίου Σφαῖρα λέγεται· ἡ δὲ μόνον τὸν Οὐρανὸν, Σφαῖρα οὐράνιος· ἡ δὲ μόνην τὴν Γῆν, Ἀρατία Σφαῖρα (ὑπὸ Ἀράτου τοῦ ποιητοῦ διερμηνευθεῖσα, τὴν κλῆσιν ἔλαβεν) ἢ Γεωγραφική, ἢ Γηΐνη.

§. 24. Γράφονται δὲ ϗ Χάρται ὑπὸ τῶν Γεωγράφων, Καθολικοὶ, Γενικοὶ, Εἰδικοὶ, Μερικοὶ, ϗ Ὑδρογραφικοὶ, Πίνακες καλούμενοι, ἢ Χάρται Γεωγραφικοί. (β)

---

(α) *Ἔοικεν οὖν Μετεωρολογικῇ τινι πραγματείᾳ ϗ Γεωμετρικῇ συνῆφθαι τὸ τῆς Γεωγραφίας εἶδος, τὰ ἐπίγεια τοῖς οὐρανίοις συνάπτων εἰς ἕν, ὡς Ἐγγυτάτω ὄντα, ἀλλὰ μὴ διεστῶτα τοσοῦτον*

*. . . ὅσον οὐρανός ἐστ' ἀπὸ γαίης. Στράβ.*

*Τὰ μὲν μετέωρα ἐν οὐρανῷ ϗ αἰθέρι ἐστὶν, ὡς ἥλιος ϗ τὰ λοιπὰ ϗ οὐρανὸς, ϗ αἰθὴρ, μετάρσια δὲ τὰ μεταξὺ τοῦ ἀέρος ϗ γῆς, οἷον ἄνεμοι, νεφέλαι, ὄμβροι, ἀστραπαί. Κλήμ. Ἀλεξ.*

(β) *Οἵ τε γὰρ πρῶτοι θαῤῥήσαντες αὐτῆς (τῆς Γεωγραφίας) ἅψασθαι τοιοῦτοί τινες ὑπῆρξαν, Ὅμηρός τε ϗ Ἀναξίμανδρος ὁ Μιλήσιος (Θαλοῦ γεγονὼς γνώριμος, ἤτοι μαθητής). Δημόκριτος δὲ, ϗ Εὔδοξος, ϗ Δικαίαρχος, ϗ Εὔφορος, καὶ ἄλλοι πλείους. Ἔτι δὲ μετὰ τούτους Ἐρατοσθένης τε, ϗ Πολύβιος, ϗ Ποσειδώνιος, ἄνδρες φιλόσοφοι. Στρ. βιβ. Α.*

§. 25. Καθολικὸς μὲν Χάρτης, ὁ ϗ Μάππα, ἢ Μαππαμόνδο προσαγορευόμενος, ἐςὶν ὁ δύω κύκλους ἐφαπτομένους ἀλλήλων περιέχων, ὑπὸ πολλῶν τετμημένους κύκλων, ϗ ὅλην τὴν Γῆν ἐμφαίνων εἰς δύω ἡμισφαίρια διατετμημένην· Γενικὸς δὲ, ὁ ἓν τῶν τεσσάρων τῆς γῆς μερῶν, εἴτουν Εὐρώπην, ἢ Ἀσίαν, ἢ Ἀφρικὴν, ἢ Ἀμερικήν. Εἰδικὸς δὲ, ὁ ἐπικράτειάν τινα, οἷον Αὐτοκρατορίαν, ἢ Βασιλείαν. Μερικὸς δὲ, ὁ ϗ Τοπογραφικὸς καλούμενος, τόπον τινὰ, οἷον Ἐπαρχίαν, ἢ Χώραν· Ὑδρογραφικὸς δὲ, ὁ Θάλασσαν, ἢ Λίμνην, ἢ Ποταμόν. (α)

## ΚΕΦΑΛΑΙΟΝ Γ'.

## Περὶ τῆς Κρικωτῆς Σφαίρας.

§. 26. Τὸν Οὐρανὸν, ϗ τὴν Γῆν, κατὰ τὸ τοῦ Πτολεμαίου σύςημα, τοῦ τὴν Γῆν ἐν τῷ κέντρῳ τοῦ παν-

*τῆς Γεωγραφίας ἐν σπαργάνοις ἔτι οὔσης ϗ γάλαξι. Ὁ Ἀναξίμανδρος, Γῆς ϗ Θαλάσσης περίμετρον πρῶτος ἔγραψεν, ἀλλὰ ϗ Σφαῖραν κατεσκεύασε (Διογ. Λαέρ). Τὸν μὲν ἐν (Ἀναξ.) Ἐκδοῦναι πρῶτον Γεωγραφικὸν Πίνακα· τὸν δὲ (Ἑκαταῖον) καταλιπεῖν γράμμα τουτέςι Σύγγραμμα, Περιήγησις, ἤτοι, Περίοδος Ἀσίας ϗ Εὐρώπης.*

(α) *Τὰ μὲν οὖν πρῶτα ϗ κυριώτατα ϗ πρὸς Ἐπιςήμην, ϗ πρὸς τὰς χρείας τὰς πολιτικὰς ταύτας, σχῆμα ϗ μέγεθος, ὡς εἰπεῖν, ἀπλούςατα ἐγχειρεῖν, τὸ πίπτον εἰς τὸν Γεωγραφικὸν Πίνακα, συμπαραδηλοῦντα, ϗ τὸ ποῖόν τι ϗ πόσον μέρος τῆς ὅλης γῆς ἐςί· τοῦτο μὲν γὰρ οἰκεῖον τῷ Γεωγράφῳ. Στραβ. βιβλ. β. σελ. 118.*

τὸς τιθεμένε, ἐμφαίνει ἡ Κρικωτὴ Σφαῖρα, τὸν μὲν Οὐρανὸν, ἡ ὑπὸ τὸν κρίκον σχηματιζομένη· τὴν δὲ Γῆν, τὸ ἐν τῷ κέντρῳ αὐτῆς κείμενον σφαιρίδιον. (α)

§. 27. Τί μὲν ἐςιν ὁ Οὐρανὸς, Πῦρ, ἢ Ἀὴρ, ἢ Ὕδωρ, ἢ μικτόν τι ἐκ τῶν τεσσάρων ςοιχείων συγκείμενον, ἢ ῥοώδης, ἢ ςερεὸς, ἢ ἄλλη τις, πλὴν τῶν εἰρημένων, ὐσία, οἶδεν ὐδεὶς, κἂν πολλοὶ πολλὰ εἰρήκασι. Σφαῖραν δὲ τὸ σχῆμα αὐτὸν φανταζόμεθα, ὐκ ἀποδείξει πεισθέντες, ἀλλ' ὑπὸ τῆς αἰσθήσεως, ϗ κοινῆς διδαχθέντες ὑπολήψεως, ἥτις δὴ ἤτοι ὅλη πεπληρωμένη ἀέρος ἐςιν, ἢ ἐν μέρει, ὃ ϗ πιθανώτερον ἔοικε.

§. 28. Τὴν Κρικωτὴν Σφαῖραν πρὸ ὀφθαλμῶν χρὴ τιθέναι τὺς ῥάδιον κατανοῆσαι θέλοντας, ὅσα ἐφεξῆς περὶ Οὐρανῦ ϗ Γῆς ζηθήσεται· ϗ γὰρ οἱ ἐν αὐτῇ κρίκοι, ϗ ἐν τῇ ὐρανίῳ, ϗ γηΐνῃ Σφαίρᾳ, κἂν τοῖς καθολικοῖς ὁρῶνται Χάρταις. Τὺς κρίκυς δὲ, ὡς κύκλυς ἀπλατεῖς δεῖ νοεῖν, λόγῳ θεωρητὺς, ϗ ἐκ τῆς ἡμετέρας ἐπινοίας ἐν τῷ ὐρανῷ ϗ ἐν τῇ γῇ διατυπωμένυς.

§. 29. Περὶ τὴν ἰδίαν Διάμετρον ὁ Οὐρανὸς περιάγεται, ἀπ' ἀνατολῶν ἐπὶ δυσμὰς φερόμενος, συμπεριαγομένων αὐτῷ πάντων τῶν Ἀςέρων, ϗ Πλανητῶν· ϗ ἡ μὲν τοιάδε φορὰ, κοινὴ λέγεται, ἢ ἡμερήσιος· ἡ δὲ Διάμετρος, Ἄξων τῦ κόσμυ· τὰ δὲ τοῦ Ἄξωνος πέρατα, Πόλοι τῦ κόσμυ.

§. 30. Τῶν δὲ πόλων, ὁ μὲν Ἀρκτικὸς, ἢ Βόρειος προσαγορεύεται, ὁ δὲ Ἀνταρκτικὸς, ἢ Μεσυμβρινὸς, ἢ Νότιος. Βόρειος μὲν, ὁ διαπαν-

---

(α) Ὅρα σχ. 22.

τὸς ὁρατὸς, ὡς πρὸς τὴν ἡμετέραν οἴκησιν· Νότιος δὲ ὁ διαπαντὸς παρ' ἡμῖν ἀόρατος.

§. 31. Πρὸς τῇ κοινῇ φορᾷ (§. 29.) ϗ ἰδίαν φέρεται ἕκαςος τῶν Ἀςέρων ϗ Πλανητῶν ὑπεναντίαν τῇ κοινῇ, τυτέςι τὴν ἀπὸ δύσεως ἐπὶ ἀνατολὴν, ὥςε ἅμα δύω φορὰς φέρεσθαι ἐναντίας, τήν τε κοινὴν ϗ τὴν ἰδίαν. Καθάπερ δὴ ϗ ὁ ναύτης ὁ ἀπὸ τῆς πρώρας τῆς κινυμένης νηὸς ἐπὶ τὴν πρύμνην πορευόμενος, ἢ ζωύφιον ἐπὶ τῆς ἀψῖδος περιοδεῦον ὑπεναντίᾳ φορᾷ τῦ περιφερομένυ τροχῦ.

§. 32. Γράφειν δὲ ἕκαςον τῶν Ἀςέρων ϗ Πλανητῶν νοῦμεν κύκλυς δύω, τὸν μὲν τῇ κοινῇ φορᾷ φερόμενον, τὸν δὲ τῇ ἰδίᾳ, ἑκάτερον δὲ ἐπὶ τῆς οὐρανίου Σφαίρας. (α)

## ΚΕΦΑΛΑΙΟΝ Δ'.

## Περὶ τῶν ἐν τῇ Κρικωτῇ Σφαίρᾳ Κύκλων.

§. 33. Δέκα οἱ ἐν τῇ κρικωτῇ Σφαίρᾳ κύκλοι· ἓξ μὲν μέγιςοι (§. 17.) ὁ Ἰσημερινὸς, ὁ Ζωδιακὸς, οἱ δύω Κολυροὶ, ὁ Ὁρίζων, ϗ ὁ Μεσημβρινὸς, τέσσαρες δ' ἐλάσσονες, οἱ δύω Τροπικοὶ, ὁ Θερινὸς, ϗ ὁ Χειμερινὸς, ϗ οἱ δύω οἱ περὶ τοὺς Πόλυς, ὁ Ἀρκτικὸς, ϗ ὁ Ἀνταρκτικός· τύτων δὲ πέντε παράλληλοι (§. 8.), ὁ Ἰσημερινὸς, οἱ δύω Τροπικοὶ, ϗ οἱ δύω οἱ περὶ τὺς Πόλυς.

§. 34. Ἰσημερινὸς ἐςὶ κύκλος μέγιςος, εἰς δύω ἡ-

(α) Ὅρα τὸ σχῆμα τῆς Κρικωτῆς Σφαίρας ἐν τῇ Ἀςρονομίᾳ τῦ Λαλάνδ. Πίν. Γ'.

μισφαίρια τὴν Σφαῖραν διχοτομῶν· ὧν τὸ μὲν Ἀρκτικὸν, ἢ Βόρειον λέγεται, ἐν ᾧ ὁ Ἀρκτικὸς κεῖται Πόλος· τὸ δὲ Ἀνταρκτικὸν, ἢ Μεσημβρινὸν, ἢ Νότιον, ἐν ᾧ ὁ Ἀνταρκτικός· ἐπὶ τῷ Ἰσημερινῷ δὲ γενόμενος ὁ Ἥλιος τὰς ἰσημερίας ποιεῖται, τήν τε κατὰ τὸν Μάρτιον μῆνα ἐαρινὴν, καὶ τὴν κατὰ τὸν Σεπτέμβριον φθινοπωρινήν· τὸν αὐτὸν δὲ καὶ Ἰσημερινὴν γραμμὴν, καὶ γραμμὴν μόνον τινὲς καλεῖν εἰώθασι.

§. 35. Ζωδιακός ἐστι κύκλος λοξὸς, τὸν Ἰσημερινὸν λοξῶς τέμνων, καὶ ὑπ᾽ αὐτοῦ εἰς δύο ἡμικύκλια διαιρούμενος, ὧν τὸ μὲν Βόρειον, τὸ δὲ Νότιον λέγεται.

§. 36. Ἐκ τριῶν δὲ κύκλων συνέστηκεν ὁ Ζωδιακὸς, ὧν οἱ μὲν τὸ πλάτος αὐτοῦ, ἴσον ὂν μοίραις περίπου 16, ἀφορίζειν λέγονται, ὁ δὲ διὰ μέσου τῶν Ζωδίων (1) ἢ Ἐκλειπτικὸς προσαγορεύεται διὰ τὸ ἐπ᾽ αὐτῷ τὰς τοῦ Ἡλίου συμβαίνειν ἐκλείψεις, καὶ τῆς Σελήνης.

Ἔστι δὲ τῶν ὑπ᾽ αὐτοῦ τε καὶ τοῦ Ἰσημερινοῦ περιεχομένων γωνιῶν ἑκατέρα τῶν ὀξειῶν ἴση μοίραις 23 καὶ λεπτοῖς 29.

(1) Διχῶς λέγεται Ζώδιον, καθ᾽ ἕνα μὲν τρόπον τὸ 12 μέρος τοῦ Ζωδιακοῦ κύκλου, ὅ ἐστι διάστημά τι τόπου, ἢ Ἄστροις, ἢ σημείοις ἀφοριζόμενον· καθ᾽ ἕτερον δὲ, τὸ ἐκ τῶν ἀστέρων εἰδωλοπεποιημένον κατὰ τὴν ὁμοιότητα καὶ τὴν θέσιν τῶν Ἀστέρων· ὁ Γεμῖνος εἰς τὰ Φαινόμενα.

§. 37. Διαιρεῖται δὲ ὁ Ζωδιακὸς εἰς ἴσα μέρη (α), καὶ τοῖς μησὶν ἰσάριθμα, εἴτουν δέκα δύω· ὧν ἓξ μὲν, τὰ ἐν τῷ βορείῳ αὐτοῦ ἡμικυκλίῳ, Ζώδια βόρεια καλεῖται. Ἓξ δὲ τὰ ἐν τῷ νοτίῳ, Ζώδια νότια. Ἑ-

---

(α) Ὅρα σχ. 13.

καστον δὲ τέτων περιέχει μὲν μοίρας 30· ὀνομάζεται δὲ ϗ ἐμφαίνεται διὰ τῶν ἑξῆς ὀνομάτων ϗ σημείων.

Τὰ μὲν Βόρεια.

Κριὸς ♈
Ταῦρος ♉
Δίδυμοι ♊
Καρκῖνος ♋
Λέων ♌
Παρθένος ♍

Τὰ δὲ Νότια.

Ζυγὸς ♎
Σκορπίος ♏
Τοξότης ♐
Αἰγόκερως ♑
Ὑδροχόος ♒
Ἰχθύες ♓

§. 38. Τὰ μὲν κατὰ τὴν ἀρχὴν τῦ Κριῦ ϗ τοῦ Ζυγῦ σημεῖα, καθ᾽ ἃ ὁ Ἰσημερινὸς τὸν Ζωδιακὸν τέμνει, σημεῖα Ἰσημεριῶν λέγεται· ἐπ᾽ αὐτῶν γὰρ γινόμενος ὁ Ἥλιος, ἥτε ἐαρινὴ ϗ ἡ φθινωπορινὴ Ἰσημερία γίνεται. Τὰ δὲ κατὰ τὴν ἀρχὴν τῦ Καρκίνυ ϗ Αἰγοκέρωτος Τροπαί· ὧν ἡ μὲν Θερινή, ἐπ᾽ αὐτῆς γὰρ γενόμενος ὁ Ἥλιος, ὐκ ἔτι πρὸς τὰ ἀρκτικὰ παροδεύει μέρη, ἀλλ᾽ ἐπὶ τὰ μεσημβρινὰ τρέπεται· ἡ δὲ Χειμερινή, ἐπ᾽ αὐτῆς γὰρ γενόμενος ὁ Ἥλιος, ὐκ ἔτι πρὸς μεσημβρίαν παροδεύει, ἀλλ᾽ ἐπὶ τὰ ἀρκτικὰ τρέπεται μέρη.

§. 39. Κολυροὶ (1), εἰσι δύω μέγιστοι κύκλοι διὰ τῶν Πόλων τῦ κόσμυ διερχόμενοι, ϗ ἀλλήλυς μὲν πρὸς ὀρθὰς τέμνοντες (§. 10.) τὸν δὲ ἐκλειπτικὸν κύκλον θάτερος μὲν κατὰ τὰς Ἰσημερίας, Κολυρὸς τῶν Ἰση-

μεριῶν καλούμενος. Ὁ ἕτερος κατὰ τὰς τροπὰς, Κολουρὸς τροπῶν.

(1) Κολουροὶ κέκληνται διὰ τὸ μέρη τινα αὐτῶν ἀθεώρητα γίνεσθαι· οἱ μὲν γὰρ λοιποὶ κύκλοι κατὰ τὴν περιςροφὴν τοῦ κόσμου ὅλοι θεωροῦνται. Τῶν δὲ Κολουρῶν κύκλων μέρη τινά ἐςιν ἀθεώρητα, τὰ ὑπὸ τοῦ Ἀνταρκτικοῦ ὑπὸ τὸν ὁρίζοντα ἀπολαμβανόμενα· ὁ Γεμῖν· εἰς τὰ φαινόμ.

§. 40. Ὁρίζων ἐςὶ κύκλος ὁ διορίζων ἡμῖν τό,τε φανερὸν, καὶ τὸ ἀφανὲς μέρος τοῦ κόσμου. (α)

§. 41. Εἰσὶ δὲ οἱ ὁρίζοντες δύω, εἷς μὲν ὁ Αἰσθητὸς, ἕτερος δὲ ὁ λόγῳ θεωρητὸς, ὃς δὴ Νοερὸς καλεῖσθω. Αἰσθητὸς μὲν οὖν ἐςὶν ὁρίζων, ὁ ὑπὸ τῆς ἡμετέρας ὄψεως περιγραφόμενος κατὰ τὸν ἀπαρτισμὸν τῆς ὁράσεως· Νοερὸς δὲ ὁ τὴν Σφαῖραν διχοτομῶν, ὥςε ἡμισφαίριον μὲν ὑπὲρ τὴν γῆν ἀπολαμβάνεσθαι, ἡμισφαίριον δὲ ὑπὸ γῆν.

§. 42. Οὐ κατὰ πάντα δὲ τόπον ὁ αὐτός ἐςιν ὁρίζων. Ἀλλὰ κατὰ μὲν τὴν πρὸς τὸν λόγον ἀκρίβειαν ἅμα τῷ ςιγμιαίαν πάροδον γενέσθαι, καθ᾽ ὁποιονοῦν μέρος τῆς γῆς μεταπίπτει ὁ ὁρίζων. Πρὸς δὲ τὴν αἴσθησιν, μίλια (1) περίπου 12½, ὁ αὐτὸς δοκεῖ ὁρίζων. (β)

(1) Τὰ Γερμανικὰ νόει ἐν ὅλῃ τῇ πραγματείᾳ, ὧν ἕκαςον ἴσον ποσὶ Γεωμετρικοῖς 4000.

§. 43. Οὐ καταγράφεται δὲ ὁ ὁρίζων ἐν τῇ Σφαίρᾳ διὰ τὸ τοὺς μὲν λοιποὺς κύκλους πάντας φερομένου τοῦ κόσμου ἀπ᾽ ἀνατολῆς ἐπὶ δύσιν συμπεριςρέφεσθαι, καὶ αὐτοὺς ἅμα τῇ τοῦ κόσμου κινήσει· Τὸν δὲ ὁρίζοντα φύσει ἀκίνητον τὴν αὐτὴν διαπαντὸς διαφυλάττειν τάξιν.

---

(α) Ὅρα σχ. 14. (β) Ὅρα τὸ αὐτὸ σχῆμα.

§. 44. Τῶν ἐν τῇ Σφαίρᾳ σημείων τὸ μὲν κατὰ κορυφὴν ἡμῶν, Ζενὶθ καλεῖται. Τὸ δὲ ἐπ' εὐθείας κατὰ τὰς ἡμετέρας πόδας ἀντικείμενον, Ναδὶρ· ἐξ οὗ δῆλον, ὅτι ἕκαστος τόπος, κἂν στιγμιαῖος ᾖ, ἴδιον ἔχει Ζενὶθ καὶ Ναδίρ. (α)

§. 45. Μεσημβρινός ἐστιν ὁ διὰ τῶν τοῦ κόσμου πόλων καὶ τοῦ Ζενὶθ, καὶ Ναδὶρ μέγιστος κύκλος. Οὗτος τὸν μὲν νοερὸν Ὁρίζοντα εἰς δύω ἡμικύκλια, τὴν δὲ Σφαῖραν εἰς δύω ἡμισφαίρια διχοτομεῖ· ὧν τὸ μὲν Ἀνατολικὸν, τὸ δὲ Δυτικὸν καλεῖται· ἐπὶ τοῦ Μεσημβρινοῦ δὲ γενόμενος ὁ Ἥλιος τὰ μέσα τῶν ἡμερῶν, καὶ τὰ μέσα τῶν νυκτῶν ποιεῖται. (β)

§. 46. Οὐ κατὰ πάντα δὲ τόπον ὁ αὐτός ἐστι Μεσημβρινός· ἀλλὰ πρὸς μὲν τὴν αἴσθησιν σχεδὸν ἐπὶ μίλια $9\frac{3}{8}$· ὁ αὐτὸς διαμένει, πρὸς δὲ τὴν ἐν τῷ λόγῳ ἀκρίβειαν ἅμα τῷ τὴν τυχοῦσαν γίνεσθαι πάροδον, ἢ πρὸς ἀνατολὴν, ἢ πρὸς δύσιν, ἕτερος γίνεται Μεσημβρινός.

§. 47. Οὐ δὲ οὗτος δὲ ὁ κύκλος καταγράφεται ἐπὶ τῆς Κρικωτῆς Σφαίρας, διὰ τὸ καὶ ἀκίνητον αὐτὸν εἶναι, καὶ μηδεμίαν δέχεσθαι μετάπτωσιν.

§. 48. Τῶν μὲν σημείων, καθ' ἃ ὁ Μεσημβρινὸς τὸν νοερὸν ὁρίζοντα διατέμνει, τὸ μὲν Ἄρκτος, τὸ δὲ Μεσημβρία καλεῖται· τῶν δὲ καθ' ἃ ὁ Ἰσημερινὸς, τὸ μὲν Ἀνατολὴ, τὸ δὲ Δύσις, δι' ὃ δὴ καὶ τέσσαρα τὰ ἐπισημότερα τοῦ νοεροῦ ὁρίζοντος σημεῖα, Ἄρκτος καὶ Μεσημβρία, Ἀνατολὴ καὶ Δύσις. (γ)

---

(α) Ὁρ σχ. 15. τὸ μὲν Ζ Ζενὶθ τὸ δὲ Ν Ναδίρ. (β) Σχ. 10. τὸ ΑΔΓΒ ὁ Μεσημβρινός. (γ) Α Ἄρκτος Β Μεσημβρία Δ Ἀνατολή. Γ Δύσις.

§. 49. Διὰ τῦ Μεσημβρινῦ δὲ καταμετρεῖται ϗ τὸ τῦ Πόλυ ὕψος. τὸ γὰρ τῦ Μεσημβρινῦ τόξον, τὸ ὑπό τε τῦ Πόλυ ϗ τῦ Ὁρίζοντος ἀπολαμβανόμενον τὸ μέτρον ἐςὶ τῦ ὕψυς τῦ Πόλυ.

§. 50. Ἑκάτερος δὲ τῶν Τροπικῶν κύκλος ἐλάσσων ἐςὶ, τῷ Ἰσημερινῷ παράλληλος ϗ ἀπ' αὐτῦ μοίρας 23½ ἀφισάμενος.

§. 51. Καὶ ὁ μὲν Θερινὸς Τροπικὸς ὁ βορειότατός ἐςι τῶν ὑπὸ τῦ Ἡλίυ γραφομένων κύκλων κατὰ τὴν τῦ κόσμυ γινομένην περιςοφήν. ἐφ' ὗ γενόμενος ὁ Ἥλιος τὴν θερινὴν τροπὴν ποιεῖται· ἐν ᾗ μεγίςη μὲν πασῶν τῶν ἐν τῷ ἐνιαυτῷ ἡ ἡμέρα, ἐλαχίςη δὲ ἡ νὺξ γίνεται ὡς πρὸς τὴν ἡμετέραν οἴκησιν. (α)

§. 52. Ὁ δὲ Χειμερινὸς τροπικὸς ὁ νοτιώτατός ἐςι τῶν ὑπὸ τῦ Ἡλίυ γραφομένων· ἐφ' ᾧ ἡ χειμερινὴ γίνεται τροπὴ, ἐν ᾗ μεγίςη μὲν πασῶν τῶν τῦ ἐνιαυτῦ νὺξ, ἐλαχίςη δὲ ἡμέρα. (β)

§. 53. Ἑκάτερος δὲ τῶν περὶ τὺς πόλυς κύκλων ἐλάσσων ἐςὶ, παράλληλος δὲ τῷ Ἰσημερινῷ, ϗ τοῖς τροπικοῖς· ϗ ἐπὶ μὲν τῦ ἰδίυ ἡμικυκλίυ ἕνα τῶν τῦ Ζωδιακῦ πόλων (§. 18.) ἔχει, ἀπὸ δὲ τῦ ἰδίυ πόλυ, τυτέςι τῦ Ἀρκτικῦ ὁ Ἀρκτικὸς, ϗ τῦ Ἀνταρκτικῦ ὁ Ἀνταρκτικὸς 23 ½ μοίρας ἀπέχει. (γ)

## ΚΕΦΑΛΑΙΟΝ Ε'.

## Περὶ τῶν τῆς Σφαίρας θέσεων.

§. 54. Τρεῖς αἱ τῆς Σφαίρας θέσεις, ὀρθὴ, πλαγία, ϗ παράλληλος. Ὀρθὴ μὲν, ἐὰν ὁ Ἰσημε-

---

(α) Σχ. 10. ἡ α β. (β) Αὐτ. ὁ γ δ. (γ) Αὐτ. ὁ ε ζ: ηθ.

ρινὸς πρὸς ὀρθὰς τὸν ὁρίζοντα τέμνῃ. Πλαγία δὲ ἐὰν λοξῶς· παράλληλος δὲ, ἐὰν αὐτῷ ταυτίζηται.

§. 55. Ὀρθῆς μὲν ἔσης τῆς Σφαίρας, οἱ μὲν τοῦ κόσμυ πόλοι ἐπὶ τῦ ὁρίζοντος κεῖνται, οἱ δὲ τῦ ὁρίζοντος, ἤτυν ὁ Ζενὶθ ἢ ὁ Ναδὶρ, ἐπὶ τῦ Ἰσημερινῦ. Πλαγίας δὲ, ὁ μὲν τῶν τῦ κόσμυ Πόλων ὑπὲρ τὸν ὁρίζοντα, ὁ δὲ ὑπὸ τὸν ὁρίζοντα. Παραλλήλυ δὲ, ὁ μὲν τῷ Ζενὶθ, ὁ δὲ τῷ Ναδὶρ ταυτίζεται. (α)

§. 56. Ὀρθῆς ἔσης τῆς Σφαίρας, ἅπας κύκλος ὁ ὑπὸ τῦ Ἡλίυ τῇ κοινῇ φορᾷ συμπεριαγομένυ γραφόμενος (§. 32.) δίχα ὑπὸ τῦ ὁρίζοντος τέμνεται. Πρὸς ὃς ὃν ὀρθὴ ἡ τῆς Σφαίρας θέσις (οἱ τὴν διακεκαυμένην Ζώνην (ὅρα §. 116.) οἰκῦντές εἰσιν ὗτοι,) ἐκείνοις ὁ μόνον ἑκάτερος τῶν πόλων ἢ ὅλος ὁ ὐρανὸς ὁρατὸς, ἀλλὰ ἢ Ἰσημερία διηνεκὴς διὰ τὴν διχοτομίαν πάντων τῶν ὑπὸ τῦ ἡλίυ καθ' ὅλον τὸν ἐνιαυτὸν γραφομένων κύκλων. Δὶς δὲ τῦ ἐνιαυτῦ ἐπὶ τῆς κορυφῆς αὐτῶν ὁ Ἥλιος ἄνεισι. Δὶς γὰρ τῦ ἐνιαυτῦ τὸν Ἰσημερινὸν περιοδεύει, ἐν ᾧ ὁ Ζενὶθ αὐτῶν, (§. 55.) τὰς κοινὰς ποιύμενος Ἰσημερίας.

§. 57. Τύτων δὲ τότε ἡ σκιὰ τὸ μὲν πρωῒ ἐπὶ δυσμὰς φαίνεται, τὸ δὲ ἑσπέρας ἐπ' ἀνατολὰς, κατὰ δὲ τὴν μεσημβρίαν ὐδεμία· δι' ἣν αἰτίαν Ἀμφίσκιοι οἱ τοιῦτοι κέκληνται, ἢ Ἄσκιοι.

§. 58. Πλαγίας δὲ ὔσης τῆς Σφαίρας, ἕκαςος τῶν κύκλων, ἐκτὸς τῦ Ἰσημερινῦ, ὃς καθ' ὅλον τὸν ἐνιαυτὸν γράφει ὁ Ἥλιος τῇ κοινῇ φορᾷ συμπεριαγόμενος,

---

(α) Ὅρα Σχ. 16.

εἰς ἄνισα μέρη τέμνεται ὑπὸ τοῦ ὁρίζοντος· τοσοῦτον δὲ μείζων ἡ ἀνισότης, ὅσον μεῖζον τὸ τοῦ Πόλου ὕψος. (α)

§. 59. Πρὸς οὓς ἡ τῆς Σφαίρας θέσις πλαγία, (οὗτοί εἰσιν οἱ τὰς εὐκράτους οἰκοῦντες Ζώνας,) ἐκείνοις θάτερος μὲν τῶν Πόλων ὁρατὸς καὶ μέρος μόνον τοῦ Οὐρανοῦ, ὁ δὲ ἕτερος Πόλος, καὶ τὸ λοιπὸν μέρος τοῦ Οὐρανοῦ διαπαντὸς ἀόρατον. Πλὴν δὲ τῶν δύο ἡμερῶν, ἐν αἷς τὸν Ἰσημερινὸν παροδεύων ὁ Ἥλιος, τὰς κοινὰς Ἰσημερίας ποιεῖ, οὐδεμία τοῦ ἐνιαυτοῦ ἡμέρα παρ' αὐτοῖς ἴση τῇ νυκτί.

§. 60. Γίνεται δὲ παρ' αὐτοῖς, ἐν μὲν τῇ θερινῇ τροπῇ (§. 51.) μεγίστη πασῶν τῶν τοῦ ἐνιαυτοῦ ἡμέρα, ἐλαχίστη δὲ νύξ. Ἐν δὲ τῇ χειμερινῇ, (§. 52.) μεγίστη πασῶν τῶν τοῦ ἐνιαυτοῦ νύξ, ἐλαχίστη δὲ ἡμέρα. Ἔστι δὲ ἡ μεγίστη ἡμέρα ἴση τῇ μεγίστῃ νυκτὶ, καὶ ἡ ἐλαχίστη ἡμέρα ἴση τῇ ἐλαχίστῃ νυκτί.

§. 61. Ὡς δὲ πρὸς τοὺς Ἀντίποδας (ὅρα §. 157.) ἐναντία τὰ κατὰ τὸν αὐτὸν τοῦ ἐνιαυτοῦ καιρὸν φαινόμενα· ἡ μὲν γὰρ θερινὴ τροπὴ παρ' αὐτοῖς ἡ χειμερινή ἐστιν, ἡ δὲ χειμερινὴ ἡ θερινή.

§. 62. Οὐκ ἔστι δὲ, οὐδὲ τὸ τῆς μεγίστης ἡμέρας καὶ τῆς ἐλαχίστης νυκτὸς, οὐδὲ τὸ τῆς μεγίστης νυκτὸς καὶ τῆς ἐλαχίστης ἡμέρας, οὐδὲ ἄλλης τινὸς ἡμέρας, ἢ νυκτὸς τὸ μέγεθος τὸ αὐτὸ ἐν πάσαις ταῖς οἰκήσεσιν, αἷς πλαγία ἡ τῆς Σφαίρας θέσις. Οἷον ἐν τῇ κατὰ τὴν Σβεκίαν Στοκολμίᾳ κατὰ τὴν 22 τοῦ Ἰουνίου, ἡ μὲν ἡμέρα ὥρας ἔχει $18\frac{1}{6}$, ἡ δὲ νὺξ ὥρας $5\frac{1}{2}$. κατὰ δὲ τὴν αὐτὴν 22. τοῦ Ἰουνίου ἐν Παρισίῳ ἡ μὲν ἡμέρα ἔχει ὥρας 16, ἡ δὲ νὺξ 8· τοσοῦτον δὲ μείζονες αἱ τῶν νυχ-

(α) Ὅρα σχ. 17.

θημέρων ἀνισότητες, ὅσον μείζων ἡ διαφορὰ τῶν ὕψεων τῶν Πόλων.

§. 63. Πλαγίας ἔσης τῆς Σφαίρας, τῶν μὲν τὸ Βόρειον οἰκέντων ἡμισφαίριον ἡ Μεσημβρινὴ σκιὰ ἐπὶ τὰ Ἀρκτικὰ μέρη φαίνεται, τῶν δὲ τὸ Νότειον, ἐπὶ τὰ Νότια, δι' ἣν αἰτίαν ἔτοι Ἑτερόσκιοι προσαγορεύονται.

§. 64. Παραλλήλε δὲ ἔσης τῆς Σφαίρας διχοτομεῖται ὑπὸ τῦ Ὁρίζοντος τὸ τῦ Ζωδιακῦ Πλάτος· Οὗ τὸ μὲν ἥμισυ ὑπεράνω, τὸ δὲ ἥμισυ ὑποκάτω τῦ Ὁρίζοντος κεῖται. (α)

§. 65. Οἷς ἐν παράλληλος ἡ Σφαῖρα, (οἱ τῶν κατεψυγμένων Ζωνῶν Πολιςαὶ εἰσὶν ἔτοι,) ἐκείνοις θάτερος μὲν τῶν Πόλων ὁ ἐπὶ τῦ Ζενὶθ, ἐ̣ τὸ ἥμισυ τῦ Οὐρανῦ ὑπὲρ τὸν Ὁρίζοντα, ἐ̣ ὁρατὸν, ὁ δὲ ἕτερος Πόλος ὁ ἐπὶ τῷ Ναδεὶρ, ἐ̣ τὸ λοιπὸν ἥμισυ τῦ Οὐρανῦ διαπαντὸς ὑπὸ τὸν Ὁρίζοντα, ἐ̣ ἀφανές.

§. 67. Καὶ ὁ Ἥλιος ἓξ μὲν Μῆνας ὁρατὸς αὐτοῖς, ἓξ δὲ ἀόρατος· διὸ ἓξ μὲν Μῆνας ἡμέρα διηνεκὴς παρ' αὐτοῖς, ἓξ δὲ νὺξ· διὰ δὲ τὸ καλέμενον λυκαυγὲς φῶς $2\frac{1}{2}$ μόνον Μῆνας διαρκεῖ ἡ νὺξ ἀφεγγής. (β)

§. 68. Ἡ δὲ τέτων σκιὰ περιφερομένη, μετὰ ὥρας 24 ἀποκαθίςαται, ὅθεν ἤρξατο φέρεσθαι· διὸ Περίσκιοι ἔτοι καλῦνται.

§. 69. Μέτρον τῆς ἡμέρας κατά γε τῆς ἀκριβείας τὸν λόγον ὁ χρόνος, ὃν διανύει ὁ Ἥλιος τὸ ὑπὲρ τὸν Ὁρίζοντα τῦ κύκλε τόξον διαπορευόμενος, εἴτεν ὁ χρό-

(α) Ὅρα σ. 18. (β) Ὅρα, τὴν Γεωγραφίαν τῶν Δημητριέων Τόμ. α΄. σελ. 45—50.

νος ἐξ ἃ τῦ Ὁρίζοντος προκύψας ἀνέτειλεν, ἕως εὖ πάλιν δῦναι ὑπὸ τὸν Ὁρίζοντα ἐκρύβη, τῦ λυκαυγῦς φωτὸς, ὅπερ ἐςὶ τῦ πρὸ τῆς Ἀνατολῆς, ἐ τῦ μετὰ τὴν Δύσιν τῦ Ἡλίυ, μηδαμῶς ἀναλογιζομένυ.

§. 70. Ἔςι δὲ Ἀνατολὴ μὲν ἡ ὑπὲρ τὸν Ὁρίζοντα τῦ Ἡλίυ φανέρωσις, Δύσις δὲ ἡ καθ' ἑκάςην ἡμέραν γινομένη ὑπὸ τὸν Ὁρίζοντα κρύψις.

§. 71. Ὁρᾶται δὲ τὸ λυκαυγὲς φῶς, ὑπὸ τὸν Ὁρίζοντα τῦ Ἡλίυ ὄντος, ἐ ἀπ' αὐτῦ ἀφιςαμένυ μοίρας περίπυ 18. ὅσον δὲ τῶν Πόλων ἐγγύτεροι οἱ τόποι, τοσῦτον μείζων ἐ ὁ τῆς διαρκείας τῦ λυκαυγῦς φωτὸς χρόνος. ἐπ' αὐτὺς δὲ τὺς Πόλυς Μῆνας διαρκεῖ περίπυ 3½, πρὸ μὲν τῆς Ἀνατολῆς τῦ Ἡλίυ Μῆνα 1½, μετὰ δὲ τὴν Δύσιν 1½.

## ΚΕΦΑΛΑΙΟΝ ς'.

## Περὶ τῆς τεχνητῆς Οὐρανίυ Σφαίρας καὶ Ἀςέρων.

§. 72. Γεγραμμένοι εἰσὶν ἐπὶ τῆς τὸν Οὐρανὸν ἐμφανύσης Σφαίρας οἱ αὐτοὶ κύκλοι, οἱ ἐ ἐπὶ τῆς Κρικωτῆς, κατηςερισμένη δὲ ἐςιν ἐπ' αὐτῆς ἐ ἡ τῶν Ζωδίων ἐ Ἀςέρων εἰδωλοποιΐα.

§. 73. Τῶν Ἀςέρων οἱ μὲν Ἄςρα ἀπλανῆ λέγονται, διὰ τὸ ἀμετάπτωτον τῆς μεταξὺ ἀλλήλων ἀποςάσεως· οἱ δὲ, Πλανητὰ, ἢ Πλανῆται, διὰ τὸ τῦ ἀποςήματος μεταβλητόν· οἱ δὲ Κομῆται· διὰ τὴν ἐν αὐτοῖς ὁρωμένην τῦ φωτὸς κόμην.

§. 74. Ἕκαςος τῶν Ἀςέρων τῇ μὲν κοινῇ ἀγομε-

νος φορᾷ, (§. 29.) κύκλον γράφει παράλληλον τῷ Ἰσημερινῷ· τῇ δὲ (§. 31.) Ἰδίᾳ τῷ Ζωδιακῷ.

§. 75. Ἡ μὲν τῶν ἀπλανῶν Ἀςέρων Ἰδία κίνησις βραδυτάτη ἐςί. μετὰ γὰρ ἐνιαυτῶν παράλευσιν περίπυ 70· μίαν μόνην εὑρίσκεται διαπορευθεὶς ὁ ἀπλανὴς Ἀςὴρ μοῖραν· ὥςε ὅλην τὴν τῦ κύκλυ Περιφέρειαν μετὰ ἐνιαυτὺς 25200 περιοδεύει (1) ὐχ ὕτω δὲ βραδεῖα ἡ τῶν Πλανητῶν Ἰδία φορὰ, περὶ ἧς ἐρῦμεν.

(1) Ἐκ τύτυ ἡ ἐπὶ Ἱππάρχυ τῦ Κριῦ μοῖρα εἰς τὴν τριακοςὴν προαχθεῖσα, τὰ νῦν ἡ πρώτη τῦ Ταύρυ ἐςίν· ἤκμασε δὲ ὁ ἐκ Νικαίας καταγόμενος Μαθηματικὸς, καὶ Ἀςρονόμος Ἵππαρχος πρὸ Χριςῦ ἔτη 129 ἐπὶ Πτολεμαίυ τῦ Φιλομήτορος, συνέγραψε δὲ περὶ Ἄςρων, ἐπαριθμῆσαι αὐτὰ διισχυρισάμενος, καὶ ὑπόμνημα δὲ εἰς τὸν Ἄρατον, ὅπερ Ῥωμαΐςὶ μεταφραθὲν ἐξεδόθη.

§. 76. Πάντας μὲν ἄρα τὺς ἀπλανεῖς Ἀςέρας ὑπὸ μίαν ἐπιφάνειαν κεῖσθαι ὑποληπτέον, ἐπίσης πανταχῆ τῆς γῆς ἀπέχυσαν, ἢ ὓς μὲν μετεωροτέρυς, ὓς δὲ ταπεινοτέρυς; (α) τὸ δεύτερον τῦ πρώτυ πιθανότερον. πάντες δὲ ἄρα ἰσομεγέθεις οἱ Ἀςέρες, ἢ ἄνισοι τὸ μέγεθος, καθὼς δὴ καὶ ὁρῶνται. καὶ γὰρ καὶ τὸ πρῶτον δυνατὸν, διὰ τὴν ἄνισον ἀπὸ τῆς γῆς ἀπόςασιν· πότερον

(α) Οἱ Ἀπλανεῖς πάντες, ὡς πρὸς αἴσθησιν ὑπὸ μιᾶς ὑποκείμενοι ἐπιφανείας ὁμοίως συμπεριάγονται παντὶ μέρει τῦ οὐρανῦ, ὁμοιοταχῶς, οὐ μὴν ἰσοταχῶς. Ὁμοιοταχεῖς μὲν γάρ εἰσιν Ἀςέρες οἱ τὰς ὁμοίας περιφερείας ἐν ἴσῳ χρόνῳ κινούμενοι καὶ διανύοντες· ἰσοταχεῖς δὲ, οἱ τὰς ἴσας περιφερείας ἐν ἴσῳ χρόνῳ κινούμενοι, καθότι κινηθήσονται οἱ ἐπὶ τῦ Μεσημβρινῦ τῶν περὶ τὺς Πόλυς κειμένων. Ἀράτ. Σχόλ.

ἀφεγγῆ σώματά εἰσι, καθάπερ οἱ Πλανῆται, ὑπὸ τῦ Ἡλίε δαδεχόμενα, ἢ φεγγοβόλα φύσει, ὥσπερ ὁ Ἥλιος; τὸ δεύτερον τῦ πρώτε μᾶλλον ἐνδεχόμενον. Τί δέ ἐστιν ὁ καλέμενος Γάλακτος κύκλος (1) ἢ Γαλακτίας; ἢ ὅτι πλῆθος Ἀςέρων ἀμύθητον. Τίς δὲ ὁ τῶν Ἀςέρων ἀριθμός; ὁ ἀριθμῶν πλήθη Ἄςρων, ϗ πᾶσιν αὐτοῖς ὀνόματα καλῶν, οἶδε μόνος.

(1) Λεξὸς δέ ἐςι κύκλος ϗ ὁ τῦ Γάλακτος· ὗτος μὲν μείζονι πλάτει λελόξωται τῶν τροπικῶν κύκλων, συνέςηκε δὲ ἐκ βραχυμερείας νεφελοειδὲς· ϗ ἔςιν ἐν τῷ κόσμῳ μόνος θεωρητός. ἐ κεχώριςαι δὲ αὐτῦ τὸ πλάτος, ἀλλὰ κατὰ μέν τινα μέρη πλατύτερός ἐςι, κατὰ δέ τινα ςενώτερος· δι' ἣν αἰτίαν ἐν ταῖς πλείςαις Σφαίραις ὐδὲ καταγράφεται ὁ τῦ Γάλακτος κύκλος· ἔςι δὲ ὗτος τῶν μεγίςων κύκλων: ὁ Γεμῖν: εἰς τὰ Φαινόμ.

§. 77. Τὺς ἀπλανεῖς ὄψει ὑποκειμένυς Ἀςέρας εἰς ἓξ διεῖλον τάξεις, κατὰ τὸν τῦ ὁρωμένυ μεγέθυς αὐτῶν λόγον· ὥςε πρώτης μὲν τάξεως Ἀςέρας λέγεσθαι τὺς μείζονας φαινομένυς πάντων τῶν ἄλλων· δευτέρας δὲ τὺς πάντας τῶν ἐν ταῖς κατωτέραις τάξεσι, ϗ ἐφεξῆς ὁμοίως.

§. 78. Κατηςερισμένα Ζώδια ἐπὶ τῆς Σφαίρας γεγραμμένα εἰσίν· ὧν τὰ μὲν ἐπὶ τῦ Ζωδιακῦ κύκλυ κεῖται, τὰ δὲ ἐπὶ τὰ Ἀρκτικὰ τῦ Ζωδιακῦ μέρη Βόρεια καλύμενα· τὰ δὲ ἐπὶ τὰ Μεσημβρινὰ τῦ αὐτῦ Ζωδιακῦ, Νότια προσαγορευόμενα Ζώδια.

§. 79. Τοῖς μὲν Ἀρχαίοις 48 Ζώδια ἐγνωσμένα ἦσαν· 12 μὲν ἐπὶ τῦ Ζωδιακῦ κύκλυ εἰδωλοπεποιημένα, 21 δὲ ἐπὶ τῦ Ἀρκτικῦ Ἡμισφαιρίυ, 15 δὲ ἐπὶ τῦ Ἀνταρκτικῦ. Ἀςέρας δὲ ταῖς τῶν Ζωδίων εἰδωλοποιΐαις

ἐμπεριεχόμενοι 1,022. Ἡ δὲ τῶν νεωτέρων (2) ἐπιμέλεια, καὶ ἡ τῶν Τηλεσκοπίων χρῆσις, καὶ ἄλλως πολλὺς δεδήλωκεν. ὥςε τὸν ἀριθμὸν τῶν νῦν γινωσκομένων ἴσον εἶναι περίπε 3,000· τέτων δὲ οἱ πλείονες, οἱ μόνῳ δῆθεν Τηλεσκοπίῳ ὁρατοὶ, ἐν τῇ Σφαίρᾳ ἐκ ἐγράφησαν.

(2) Τῦ Τύχωνος, τῦ Βαϋέρυ, τῦ Ῥικιόλυ, τῦ Ῥουέρυ τῦ Ἐνελίυ, τῦ Φλαμςηδίυ.

§. 80. Εἰσὶ δὲ τὰ ἐπὶ τῆς Σφαίρας Εἰδωλοπεποιημένα Ζώδια τὰ ἑξῆς.

## Τὰ μὲν ἐπὶ τῦ Ζωδιακῦ κύκλυ.

1. Κριὸς, Aries, λαμπρὸν φέρων ἐν τῷ μετώπῳ Ἀςέρα.
2. Ταῦρος, Taurus, ἐπὶ μὲν τῦ Νότυ Ἀςέρας ἕξ, πλειάδας καλυμένυς, ἐπὶ δὲ τῦ μετώπυ πέντε, Ὑάδας.
3. Δίδυμοι, Gemini, δύω μὲν ἐπὶ τῶν κεφαλῶν τῆς δευτέρας τάξεως, ἕνα δὲ πρὸ τῶν ποδῶν, Πρόκυν προσαγορευόμενον.
4. Καρκῖνος, Cancer, ὃ ἐν τῷ ςήθει Ἀςέρες νεφελοειδεῖ συςροφῇ ἐοικότες, Φάτνη λεγόμενοι, πλησίον δὲ αὐτῆς δύω Ἀςέρες, Ὄνοι τὴν κλῆσιν.
5. Λέων, Leo, ἐν μὲν τῇ καρδίᾳ λαμπρὸν Ἀςέρα ἔχων τῆς πρώτης τάξεως, Καρδία Λέοντος, ἢ Βασιλίσκος προσαγορευόμενον· ἐν δὲ τῷ τῆς ὐρᾶς πέρατι Ἀςέρα τῆς δευτέρας τάξεως, ὃ τὸ ὄνομα Οὐρὰ Λέοντος.
6. Παρθένος, Virgo, ἧς ἐν ἄκρᾳ μὲν τῇ ἀριςερᾷ χειρὶ λαμπρὸς Ἀςὴρ τῆς δευτέρας τάξεως Στα-

χυς τὴν κλῆσιν, παρὰ τὴν δεξιὰν πτέρυγα ἀςερίσκος, Προτρυγητὴρ καλέμενος.

7. Ζυγὸς, Libra, ἐφ᾽ ὗ δύω τῆς δευτέρας τάξεως Ἀςέρες.

8. Σκορπίος, Scorpius, ἐφ᾽ ὗ δύω, ὁ μὲν τῆς πρώτης τάξεως περὶ τὴν καρδίαν, Καρδία Σκορπίου τὸ ὄνομα· ὁ δὲ τῆς δευτέρας ἐπὶ τῆς κεφαλῆς αὐτῦ.

9. Τοξότης, Sagittarius, ἐφ᾽ ὗ τρεῖς τῆς τρίτης τάξεως, ὁ μὲν ἐν τῷ τόξῳ, ὁ δὲ ἐν τῷ βέλει, ὁ δὲ ἐν τῷ ἐμπροσθίῳ ποδί.

10. Αἰγόκερως, Capricornus, τρεῖς φέρων τῆς δευτέρας τάξεως, τὸν μὲν ἐπὶ τῦ δεξιῦ κέρατος, τὺς δὲ ἐπὶ τῆς ὀρχῆς.

11. Ὑδροχόος, Aquarius, ὗ ἐν ἄκρᾳ τῇ δεξιᾷ χειρὶ τέσσαρες κεῖνται Κάλπις καλέμενοι.

12. Ἰχθύες, Pisces, ἐφ᾽ ὧν οἱ ἀπὸ τῶν ὀρχίων μερῶν κατὰ τὸ ἑξῆς κείμενοι Ἀςέρες, Λῖνοι προσαγορεύονται· εἰσὶ δὲ ἐν μὲν τῷ νοτίῳ Λίνῳ Ἀςέρες ἐννέα, ἐν δὲ τῷ βορείῳ πέντε· ὁ δὲ ἐν ἄκρῳ τῷ Λίνῳ κείμενος λαμπρὸς Ἀςὴρ, Σύνδεσμος καλεῖται. (1)

(1) Τὰ κατηςερισμένα Ζώδια, ὔτε ἴσα ἐςὶ κατὰ τὸ μέγεθος, ὔτε ἐξ ἴσων Ἀςέρων συνέςηκε, ὔτε πάντα ἐκπληροῖ τὺς ἰδίυς τόπυς τῶν δωδεκατημορίων· ἀλλ᾽ ἃ μὲν ἐλλείπει, καθάπερ ὁ Καρκῖνος· μικρὸν γὰρ τόπον ἐπέχει τῦ ἰδίυ τόπυ· ἃ δὲ ὑπερπίπτει, καὶ μέρη τινὰ τῶν προηγυμένων καὶ τῶν ἑπομένων Ζωδίων ἐπιλαμβάνει, καθάπερ ὁ Λέων· ἔτι δέ τινα τῶν δώδεκα Ζωδίων, οὔτε ὅλα κεῖται ἐν τῷ Ζωδιακῷ κύκλῳ, ἀλλ᾽ ἃ μὲν ἐςὶν

ἐπιβορειότερα αὐτῆ, καθάπερ ὁ Λέων, ἃ δὲ νοτιώτερα, καθάπερ ὁ Σκορπίος. ὁ Γεμῖν· εἰς τὰ Φαινόμενα.

## Τὰ δὲ Βόρεια.

1. Ἄρκτος μικρὰ, Ursa minor, ἐν ἄκρα μὲν τῇ ἐρᾶ ἕνα ἔχουσα τῆς δευτέρας τάξεως Ἀςέρα, Πόλον, ἢ ἄςρον πολικὸν καλούμενον, τῦ ἀληθῦς ἀπέχοντα Πόλυ μοίρας 2, ἐ λεπτὰ 17· ἐν δὲ τοῖς ἐμπροσθίοις μέρεσι δύω ἐπισήμυς.

2. Ἄρκτος μεγάλη, Ursa maior, ἐφ' ἧς ἑπτὰ Ἀςέρες, οἷον ἅμαξαν σχηματίζοντες, ὧν πέντε μὲν τῆς δευτέρας, δύω δὲ τῆς τρίτης τάξεως. (α)

---

(α) „— — δύω δέ μιν ἀμφὶς ἔχουσαι.
„Ἄρκτοι ἅμα τροχόωσι. τὸ δὴ καλέονται ἅμαξαι. Ἄρατος εἰς τὰ φαινόμενα.

Περὶ τὸν βόρειον πόλον Ἄρκτοι ἅμα τροχόωσιν, ἤγυν τρέχυσι· διὰ γὰρ τῦτο ἅμαξαι ὠνομάσθησαν. διτταὶ δὲ εἰσὶν, ὧν τὴν μὲν Ναύπλιος εὗρε· τὴν δὲ δευτέραν τὴν ἐλάσσονα, Θαλῆς ὁ σοφός·

„Καὶ τὴν μὲν Κυνόσυραν ἐπίκλησιν καλέυσι
„Τὴν δ' ἑτέρην Ἑλίκην· Ἑλίκῃ γε μὲν Ἄνδρες Ἀχαιοὶ
„Εἰν ἁλὶ τεκμαίρονται, ἵνα χρὴ νῆας ἀγινεῖν.
„Τῇ δ' ἄρα Φοίνικες πίσυνοι περόωσι θάλασσαν· Ἄρατος εἰς τὰ φαινόμ.

Τὴν μείζονα Ἄρκτον Ἑλίκην καλῦσι, παρὰ τὰς ἕλικας ἢ συςροφὰς αὐτῆς· μείζυς γὰρ ἔχει τὰς περιφορὰς τῆς Κυνοσύρας· ὅτι ἡ μείζων ἐςὶ κατὰ τὸ μέγεθος. Ἡ μὲν γὰρ Κυνόσυρα περὶ τὸν πόλον ἐςὶν, ἡ δὲ περὶ τὸν ὅλον βόρειον κύκλον. Τὴν μὲν ὖν Ἑλίκην τεκμήριον οἱ Ἕλληνες ἔχυσι πλέοντες, ὅπυ χρὴ τὰς ναῦς ἀγινεῖν, ἤγυν ςρέφειν. Τὴν δὲ μικρὰν, Κυνόσυραν· βραχεῖα γὰρ ἐςὶν ἐν τῷ αὐτῷ

3. Δράκων, Draco, ἐπὶ μὲν τῆς κεφαλῆς δύω τηλαυγεῖς, ἐπὶ δὲ τῆς οὐρᾶς πολλοὺς ἐπισήμους φέρων.

4. Κηφεὺς, Cepheus, ἐφ' οὗ τρεῖς τῆς τρίτης τάξεως.

5. Ἀρκτοφύλαξ, Bootes, ἐπὶ τῶν κεράτων (Ἀναμέσον τῶν σκελῶν κατὰ τὸν Γεμῖν.) Ἀστέρα τῆς πρώτης τάξεως φέρων Ἀρκτοῦρον καλούμενον.

6. Βόρειος στέφανος, Corona Borealis, ἐφ' οὗ εἷς καταφανὴς τῆς δευτέρας τάξεως.

7. Ἡρακλῆς, Hercules, ἐπὶ τῆς κεφαλῆς ἐπίσημον Ἀστέρα τρίτης τάξεως φέρων.

8. Λύρα, Lyra, ἐφ' ἧς Ἀστὴρ τῆς πρώτης τάξεως, Λύρα ὁμωνύμως τῷ Ζωδίῳ καλούμενος.

9. Κύκνος, Cygnus, οὗ ἡ οὐρὰ λαμπρὸν φέρει τῆς δευτέρας τάξεως Ἀστέρα.

10. Κασσιέπεια, Cassiopeia, ἐφ' ἧς πέντε, ὧν λαμπρότερος ὁ ἐν τῇ ἕδρᾳ αὐτῆς κείμενος Ἀστὴρ δευτέρας τάξεως, ἢ πρώτης κατ' ἄλλους.

---

στρέφεται, καὶ ἔστι μᾶλλον τῆς Ἑλίκης εὐσύνοπτος οὐ τῇ λαμπηδόνι ἀμυδρὰ γὰρ, ἀλλὰ τῷ ἐν τῷ αὐτῷ περιστρέφεσθαι. Ἡ γὰρ ἑτέρα ἐν τῇ περιφορᾷ μείζων κυκλουμένη, οὐκ ἔστιν εὐσύνοπτος διὰ τὸ πολυφερές. οἱ μὲν Φοίνικες, ὡς ἀκριβέστεροι τὰ ναυτικὰ, καὶ ἐμπειρότεροι τῶν Ἑλλήνων θαῤῥοῦντες παρὰ τὴν ἐλάσσω βλέπουσι, καὶ ἅμα ὁ εὑρετὴς αὐτῆς Θαλῆς εἰς Φοίνικας ἀνάγει τὸ γένος, οἱ δὲ Ἕλληνες ἐν ἀγνωσίᾳ τῆς μικρᾶς ὄντες πρὸς τὴν Ἑλίκην ὁρῶντες ὡς μείζονα διαπλέουσιν· ὅθεν αὐτοὺς ὁ Ὅμηρος Ἑλίκωπας καλεῖ, ὡς εἰς αὐτὴν τοὺς ὦπας ἀνατείνοντας· οἱ δὲ λέγοντες διὰ τὸ εὐοφθάλμους εἶναι τοὺς Ἕλληνας Ἑλίκωπας καλεῖσθαι ἁμαρτάνουσι. Παρθένου γὰρ τὸ ἐπίθετον. Ἀράτ. σχόλ.

11. Περσεὺς, Perseus, ἐφ' ἒ δύω τῆς δευτέρας τάξεως, ὁ μὲν ἐν τῷ δεξιῷ αὐτῦ ὤμῳ, ὁ δὲ ἐπὶ τῆς κεφαλῆς τῆς Μηδέσης. ἢ οἱ μὲν ἐν ἄκρᾳ ἀριςερᾷ χειρὶ κείμενοι, Ἀςέρες Γοργόνων καλῦνται, οἱ δὲ ἐν ἄκρᾳ τῇ δεξιᾷ αὐτῦ ἀςερίσκοι πυκνοὶ ἢ μικροὶ εἰς τὴν Ἅρπην καταςερίζονται.

12. Ηνίοχος, Auriga, ἕνα τῆς πρώτης τάξεως ἐπὶ τῦ ὤμυ φέρων. (1)

(1) Ο' δὲ ἐν τῷ εὐωνύμῳ ὤμῳ τῦ Ἡνιόχυ κείμενος λαμπρὸς Ἀςὴρ Αἴξ προσαγορεύεται· οἱ δὲ ἐν ἄκρᾳ τῦ αὐτῦ χειρὶ κείμενοι ἀςερίσκοι δύω, Ἔριφοι καλῦνται· ὁ Γεμῖν. εἰς τὰ Φαινομ.

13. Ο'φιῦχος, Serpentarius, ἕνα μὲν ἐπὶ τῆς κεφαλῆς τῆς δευτέρας τάξεως, ἕτερον δὲ ἐπὶ τοῦ ἀριςερῦ ὤμυ τῆς τρίτης.

14. Ο'φις, Serpens ophiuci, ἕνα τῆς δευτέρας τάξεως.

15. Ο'ϊςὸς, Telum, sive Sagitta, ἐφ' ἒ ὐδεὶς ἐπίσημος.

16. Α'ετὸς, Aquila, ἐφ' ἒ εἷς λαμπρὸς τῆς πρώτης τάξεως.

17. Δελφὶς, Delphinus, ἐφ' ἒ ὐδεὶς ἐπίσημος.

18. Περιτομὴ Ἵππυ, Equuleus, ὁμοίως.

19. Πήγασος, Pegasus, ἐφ' ἒ τρεῖς τῶν λαμπροτέρων.

20. Α'νδρόμεδα, Andromeda, ἐφ' ἧς τρεῖς, ὁ μὲν ἐπὶ τῆς κεφαλῆς, ὁ δὲ ἐπὶ τῆς Ζώνης, ὁ δὲ ἐπὶ τῦ ὑποδήματος τῦ πρὸς νότον ποδός.

21. Δελτωτὸν, ἢ Τρίγωνον μεῖζον, Triangulum

majus. (1) Τούτοις προσετέθη ὑπὸ τῶν νεωτέρων 21 τὰ ἑξῆς.

(1) Τὰ Ζώδια ταῦτα ὁ Γεμῖν. εἰς τὰ Φαινομ. συντάσσει οὕτως· ἡ μεγάλη Ἄρκτος, ἡ μικρὰ, Δράκων ὁ διὰ τῶν Ἄρκτων, Ἀρκτοφύλαξ, Στέφανος ἐν γόνασιν, Ὀφιοῦχος, Ὄφις, Λύρα, Ὄρνις, Οἰστὸς, Ἀετὸς, Δελφὶς, Περιτομὴ ἵππου, καθ' ἵππαρχον ἵππος, Κηφεὺς, Κασσιέπεια, Ἀνδρόμεδα, Περσεὺς, Ἡνίοχος, Δελτωτὸν, καὶ ὁ Ὕστερον κατηστεριομένος ὑπὸ Καλλιμάχου Βερενίκης πλοκαμός.

22. Τρίγωνον ἔλαττον, Triangulum minus, ἐφ' οὗ τρεῖς Ἀστερίσκοι.

23. Μυῖα, Musca, ἐφ' ἧς τέσσαρες.

24. Χαμαιλεοπάρδαλις, Cameleopardalus, ἐφ' ἧς οὐδεὶς τῶν ἐπισήμων.

25. Λύγξ, Lynx, οὗ τὸ ἄκρον τῆς οὐρᾶς ἕνα τῆς τρίτης τάξεως φέρει.

26. Λέων ἐλάσσων, Leo minor, ἐφ' οὗ τρεῖς τῆς τρίτης τάξεως.

27. Κυνηγετικοὶ κύνες, Canes venatici, ἐφ' ὧν εἷς μόνος τῆς δευτέρας τάξεως.

28. Κέρβερος, Cerberus, ἐφ' οὗ οὐδεὶς τῶν ἐπισήμων.

29. Σοβιεσκιανὴ Ἀσπὶς, Scutum sobiescianum, ὁμοίως.

30. Ἀντίνοος, Antinous, ἐφ' οὗ τρεῖς τῆς τρίτης τάξεως.

31. Ἀλωπέκιον σὺν χηνὶ, Vulpecula cum ansere, ἐφ' ὧν δύω τῆς τρίτης τάξεως.

32. Σαῦρα, Lacerta, ἐφ' ἧς τῶν λαμπροτέρων οὐδείς.

## Τὰ δὲ Νότια.

1. Κῆτος, Cetus, ἐφ' οὗ εἷς λαμπρὸς τῆς πρώτης τάξεως Ἀςήρ.
2. Ὠρίων, Orion, ἐπιφανὴς διὰ τοὺς ἐν αὐτῷ πολλοὺς καὶ ἐπισήμους Ἀςέρας. ὧν δύω μὲν τῶν ἄλλων ὑπέρτεροι ἐπὶ τῶν ὤμων αὐτοῦ κείμενοι, ὁ μὲν τῆς πρώτης, ὁ δὲ τῆς δευτέρας τάξεως· τρεῖς δὲ τῆς δευτέρας, ἐπὶ τῆς Ζώνης, εἷς ἐπὶ τοῦ δεξιοῦ τῶν γονάτων, καὶ ἕτερος λαμπρὸς τῆς πρώτης τάξεως ἐπὶ τοῦ ἀριςεροῦ ποδός.
3. Ἠριδανὸς ποταμὸς, Eridanus fluvius, οὗ τὸ πέρας ἕνα ἔχει τῆς πρώτης τάξεως.
4. Λαγωὸς, Lepus, ἐφ' οὗ δύω τῆς τρίτης τάξεως.
5. Κύων, Canis major, ἔχων ἐν τῷ ςόματι λαμπρότατον Ἀςέρα Κύνα προσαγορευόμενον, κατ' ἄλλους δὲ Σείριον.
6. Προκύων, Canicula, ἐφ' οὗ λαμπρὸς Ἀςὴρ αὐτῷ ὁμωνύμως.
7. Ἀργὼ, Argonavis, ἐν ἄκρῳ τῷ πηδαλίῳ αὐτῆς λαμπρὸν ἔχουσα Ἀςέρα, Κάνωβον ὀνομαζόμενον.
8. Ὕδρος, Hydra, καθαρὸν ἐπὶ τοῦ ςήθους φέρων Ἀςέρα τῆς πρώτης τάξεως, Καρδία Ὕδρου προσαγορευόμενον.
9. Κρατὴρ, Crater, ἐπὶ τοῦ Ὕδρου ἐπιβεβηκὼς, καὶ μηδένα τῶν λαμπροτέρων περιέχων Ἀςέρα.
10. Κόραξ, Corvus, ἐπὶ τοῦ Ὕδρου καὶ αὐτὸς, ἐφ' οὗ τρεῖς τῆς τρίτης τάξεως.
11. Κένταυρος, Centaurus, ἐφ' οὗ δέκα, ὁ μὲν

τῆς πρώτης, ὁ δὲ τῆς δευτέρας, οἱ δὲ λοιποὶ τῆς τρίτης τάξεως.

12. Λύκος, Lupus, ἐφ' οὗ οὐδεὶς τῶν λαμπροτέρων.

13. Θυμιατήριον, Thuribulum, ὁμοίως.

14. Νότιος Στέφανος, Corona australis, ὡσαύτως.

15. Νότιος Ἰχθὺς, Piscis austrinus, ᾧ ἐν τῷ στόματι Ἀστὴρ τῆς πρώτης τάξεως κεῖται, ὃς καὶ τοῦ ὑδροχόου Ἀστὴρ νομίζεται. (1)

(1) Τούτων ἡ τάξις κατὰ τὸν Γεμῖν. ἐστὶν ἥδε· Ὠρίων, Κύων, καὶ Προκύων, Λαγωὸς, Ἀργὼ, Ὕδρος, Κρατὴρ, Κόραξ, Κένταυρον, Θηρίον, ὃ κρατεῖ ὁ Κένταυρος, καὶ Θυρσολόχο , ὃν κρατεῖ ὁ Κένταυρον καθ' ἵππαρχον, θυμιατήριον, Νότιος Ἰχθὺς, Κῆτος, Ὕδωρ τὸ ἀπὸ τοῦ Ὑδροχόου, Ποταμὸς ὁ ἀπὸ τοῦ Ὠρίωνος, Νότιος Στέφανος, ὑπὸ δέ τινων οὐρανίσκος προσαγορευόμενος, Κηρυκεῖον καθ' ἵππαρχον.

Τούτοις προσετέθη ὑπὸ τῶν νεωτέρων (2) τάδε.

(2) Ὑπὸ τοῦ Ἀλλέου ἐκ τῶν τοῦ Ἐυελίου παρατηρήσεων.

16. Μονόκερως, Monoceros, ἐφ' οὗ οὐδεὶς τῶν λαμπροτέρων.

17. Οὐράνιον ἑκτημόριον, sextans Uranius, ὁμοίως.

18. Φοίνιξ, Phoenix, ἐφ' οὗ εἷς τῆς δευτέρας τάξεως.

19. Ὕδρος, Hydrus, ἐφ' οὗ δύω τῆς τρίτης τάξεως.

20. Δοράδος, Doradus, ἐφ' οὗ οὐδεὶς τῶν λαμπροτέρων.

21. Περιστερὰ τοῦ Νῶε, Columba noachi, ἐφ' ἧς δύω τῆς τρίτης τάξεως.

22. Μῦια, Musca, ἐφ' ἧς ἐδεὶς τῶν λαμπροτέρων.
23. Ἰχθὺς ἱπτάμενος, Piscis volans, ὁμοίως.
24. Χαμαιλέων, Chamaeleon, ὡσαύτως.
25. Τρίγωνον νότιον, Triangulum australe, ἐφ' ὃ τρεῖς τῆς τρίτης τάξεως.
26. Πτηνὸν Ἰνδικὸν, Avis indica, ἐφ' οὗ ἐδεὶς τῶν λαμπροτέρων.
27. Ταὼς, Pavo, ἐφ' ὃ εἷς τῆς δευτέρας τάξεως.
28. Ἰνδὸς, Indus, ἐφ' ὃ ἐδεὶς τῶν λαμπροτέρων.
29. Γέρανος, Grus, ἐφ' ὃ δύω τῆς δευτέρας τάξεως.
30. Θουκὰν, Toucan, ἐφ' ὃ ἐδεὶς τῶν ἐπισημοτέρων.
31. Καρολίνα ῥώμη, robur Karolinum, ἐφ' ἧς τρεῖς, ὁ μὲν τῆς δευτέρας, οἱ δὲ τῆς τρίτης τάξεως. (α)

## ΚΕΦΑΛΑΙΟΝ Ζ'.

## Περὶ Πλανητῶν Ἄςρων.

§. 81. Ἀφεγγῆ σώματα εἰσὶν οἱ Πλανῆται, ὑπὸ τοῦ Ἡλίου φωτιζόμενοι, καὶ τῇ τῶν ἡλιακῶν αὐγῶν ἀνακλάσει φωτίζοντες. μεταβάλλουσι δὲ τὸ μεταξὺ ἀλλήλων ἀπόςημα· καὶ ὁτὲ μὲν ἀλλήλων ἐγγύτερον, ὁτὲ δὲ ἀπώτερον, ὁτὲ δὲ ἐν Συνόδῳ, ὅπερ ἐςὶν ὑ-

(α) Ὅρα τὸν Πίνακα τῶν ἑκατὸν Ἀςερισμῶν, εἰς τὴν ἐπιτομὴν τῆς Ἀςρονομίας τοῦ Λαλάνδ ἤδη Γραικιςὶ ἐκδοθεῖσαν· ὅρα ὅτι καὶ τὴν Γραμματικὴν τῶν Ἐπιςημῶν.

πὸ τὴν αὐτὴν τῦ Ζωδιακῦ μοῖραν, ϗ ἄλλοτε κατὰ Διάμετρον, εἶτυν ἐν τῇ κατ' εὐθεῖαν ἀπ' ἐναντίας τοῦ Ζωδιακῦ μοίρᾳ, κεῖνται.

§. 82. Ὅν ἕκαςος τῶν Πλανητῶν ὑπὸ τῆς ἰδίας φορᾶς φερόμενος καταγράφει κύκλον ἐπὶ τῦ Ζωδιακοῦ μὲν κεῖται, ϗ Παράλληλός ἐςι τῷ ἐκλειπτικῷ κύκλῳ (§. 74.) ἡμὴν δὲ ϗ ὁμόκεντρος τῇ γῇ, ἀλλ' ἔκκεντρος. ἐκ τύτυ ὖν ἄλλοτε μὲν ἐγγύτερον τῆς Γῆς· διαπορεύεται, ϗ λέγεται Περίγειος, ἄλλοτε δὲ ἀπώτερον, ϗ καλεῖται Α'πόγειος.

§. 83. Πέντε εἰσὶν οἱ Πλανῆται· ὧν τὰ ὀνόματα, ϗ οἱ δι' ὧν γράφονται χαρακτῆρές εἰσιν οἱ ἑξῆς. (α)

| | |
|---|---|
| Κρόνος | ♄ |
| Ζεὺς | ♃ |
| Ἄρης | ♂ |
| Ἥλιος | ☉ |
| Ἀφροδίτη | ♀ |
| Ἑρμῆς | ☿ |
| Σελήνη | ☾ |

§. 84. Διὰ δὲ τῶν Τηλεσκοπίων ϗ ἕτεροι ἀνεκαλύφθησαν ἐννέα Δευτεραῖοι Πλανῆται, ἢ Δορυφόροι λεγόμενοι. τύτων πέντε μὲν οἱ περὶ τὸν Κρόνον περιαγόμενοι, Δορυφόροι τῦ Κρόνυ προσαγο-

(α) Ὀκτὼ εἰσὶν οἱ Πλανῆται. Οὐρανὸς, ὃς ϗ Ἕρχελ καλεῖται, ἀνεκαλύφθη ὑπὸ τῦ Περιφήμυ Ἀςρονόμυ τῆς Λόνδρας Ἕρχελ, κατὰ τὸ 1781 Μαρτίυ 3. Κρόνος, Ζεὺς, Πιάτζης (νέος Πλανήτης ἀνεκαλύφθη ὑπὸ τῦ Ἀςρονόμυ τῦ Παλέρμυ Πιάτζη, κατὰ τὸ 1801). Ἄρης, Γῆ, Ἀφροδίτη, καὶ Ἑρμῆς.

ρεύονται· τέσσαρες δὲ οἱ περὶ τὸν Δία, Δορυφόροι τῦ Διός. (a)

## ΚΕΦΑΛΑΙΟΝ Η΄.

## Περὶ Ἡλίυ.

§. 85. Σπείρας μᾶλλον, ἢ κύκλυς τῇ ἡμερησίῳ κινήσει ϗ κοινῇ φορᾷ γράφει (§. 29, 74.) καθ' ἑκάστην ὁ Ἥλιος, τῇ ἰδίᾳ δὲ κινήσει φερόμενος μίαν περίπυ μοῖραν τῦ Ζωδιακῦ καθ' ἑκάστην διανύει· ὥστε μεθ' ἡμέρας 365 ϗ ὥρας 6, ὅλον διαπορεύεται τὸν Ζωδιακὸν κύκλον. ἡ μὲν ὖν περίοδος αὕτη ἐνιαύσιος λέγεται, ὁ δὲ τῆς περιόδυ χρόνος ἐνιαυτός. διὸ ἅπας ἐνιαυτὸς ἐξ ἡμερῶν συνέστηκε 365· ἐκ δὲ τῦ τῶν 6· ὡρῶν περισσεύματος κατὰ πᾶσαν συνίσταται τετραετηρίδα ὁ καλύμενος ἐνιαυτὸς Βίσεκτος ὁ ἐκ 366 ἡμερῶν συγκείμενος· ϗ ταῦτα μὲν ὕτως ὥρισαι ϗ διατέτακται ἐπὶ Ἰυλίυ τῦ Καίσαρος. (1)

(1) Ἐγεννήθη μὲν ὗτος ἔτει πρὸ Χριςῦ 98, ἐτελεύτησε δὲ ἔτει 43. Τὸ δὲ τῶν Ῥωμαίων χρονολογικὸν ἔτει πρὸ Χριςῦ 45 ἐπεδιωρθώσατο διὰ Σωσιγένυς Αἰγυπτίυ τῦ σοφῦ Ἀςρονόμυ, ἀλλὰ τὸ κατὰ πᾶν ἔτος τῶν ἡμερῶν περίσσευμα, ὐκ ἔςιν ὡρῶν 6· ἐλλείπει γὰρ αὐτῆς λεπτὰ 11· ὅπερ μετὰ ἑκατονταετηρίδας τέσσαρας, ἡμέρας συγκροτῦσι 3, ὥραν 1, ϗ λεπτὰ 20· τὸ γῦν ἔλλειμα τῶν 11 λεπτῶν ἄχρι τῦ 1582 ἀπὸ Χριςῦ ἔτυς παροραθὲν, ἡμέρας πεποίηκε περίπυ 11. οἱ ὖν περὶ

(a) Ὅρα ἔμπροσθεν εἰς τὰς Η...

Γρηγόριον τὸν πάπαν τὸν ιγ΄. ἀφελόντες τότε ἡμέρας, τῷ ἐνιαυτῷ ἐκείνῳ 10 τὸ καλέμενον νέον ἔτος, ἢ Καλενδάριον ἐποίησαν. ἵνα δὲ μηκέτι εἰς τὸν ἑξῆς χρόνον τὸ ῥηθὲν ἔλλειμα τῶν 11 λεπτῶν παρορᾶται, ἀλλὰ τῷ τῶν ἡμερῶν ἐπισυνάπτηται χρόνῳ, ὥρισαν τὸν ἔσχατον ἐνιαυτὸν τριῶν κατὰ σειρὰν ἑκατονταετηρίδων μὴ εἶναι Βίσεκτον τὸν ἔσχατον τῆς τετάρτης ἑκατονταετηρίδος· οἷον ὁ μὲν 1700 οὐκ ἦν Βίσεκτος, ὁμοίως ὐδὲ ὁ 1800, ὐδὲ ὁ 1900 ἔσαι· ὁ δὲ 2000 ἐνιαυτὸς Βίσεκτος ἔσαι. καὶ ὕτως ἐν μέρει μὲν, εἰ μὴν κατὰ τὸν τῆς ἀκριβείας λόγον, τὴν διαληφθεῖσαν ἀναπλήρωσιν ἔλλειψιν.

§. 86. Τὸ μὲν ἀπὸ τῆς Γῆς τῦ Ἡλίυ ἀπόσημα ἴσον περίπυ 18 μιλιονίοις μιλίων· τὸ δὲ μέγεθος αὐτῦ, τὐλάχισον μιλιονιοπλάσιον τῆς Γῆς. (α)

§. 87. Ὁ μὲν ἀπόγειος τόπος, ἐφ᾽ ὗ περὶ τὸ τέλος τῦ Ἰυνίυ ὁ Ἥλιος γίνεται περὶ τὴν ἑβδόμην νῦν κεῖται τῦ Καρκίνυ μοῖραν· ὁ δὲ περίγειος, ἐφ᾽ ὗ περὶ τὸ τέλος τῦ Δεκεμβρίυ ὁ Ἥλιος γίνεται, περὶ τὴν ἑβδόμην τῦ Αἰγωκέρωτος· ἀπέχει δὲ τῆς γῆς ὁ ἀπόγειος ἡλιακὸς τόπος μᾶλλον, ἢ ὁ περίγειος μίλια περίπου 600,000.

§. 88. Τὰ ἓξ ἄρα Ζώδια τὰ Βόρεια διαπορευόμενος ὁ Ἥλιος μᾶλλον τῆς γῆς ἀπέχει, ἢ τὰ ἓξ Νότια, ὅπερ ἐσὶν ἀπώτερος ἡμῶν ὁ Ἥλιος ἐν καιρῷ θέρυς,

(α) Κατὰ τὰς νεωτέρας παρατηρήσεις τὸ μέγεθος τῦ Ἡλίου εἶναι ἓν Μιλιόνιον καὶ τετρακοσίας χιλιάδας φοραῖς· παρὰ τὸ τῆς Γῆς, ἡ διαμετρός τε εἶναι ἑκατὸν ἕνδεκα φοραῖς· παρὰ ἡ τῆς Γῆς δηλ. 193871, 35: μίλια· σρέφεται περὶ τὸν ἄξονά τε εἰς 25 ἡμέρας καὶ 12 ὥρας.

ἐγγύτερος ἐν καιρῷ χειμῶνος· διατὶ ἂν κατὰ τὸ θέρος μᾶλλον, ἢ κατὰ τὸν χειμῶνα θερμαίνει; ἢ ὅτι βραχὺν μὲν χρόνον ὑπὲρ τὸν ἡμέτερον Ὁρίζοντα ἵσαται, πλαγίως δὲ αἱ ἀκτῖνες αὐτοῦ τῇ Γῇ προσβάλλουσι κατὰ τὸν χειμῶνα· ἐπὶ πολὺ δὲ ὑπὲρ τὸν Ὁρίζοντα ἵσαται, καὶ ὀρθότερον αἱ ἀκτῖνες αὐτοῦ προσπίπτουσιν ἐν καιρῷ θέρους.

## ΚΕΦΑΛΑΙΟΝ Θ΄.

## Περὶ Σελήνης.

§. 89. Καὶ ἡ Σελήνη ἀφεγγές ἐςι σῶμα ὑπὸ τοῦ Ἡλίου μὲν αὐγαζομένη, φωτίζουσα δὲ τῇ τῶν ἡλιακῶν ἀνακλάσει ἀκτίνων. μικροτέρα δὲ τῶν ἄλλων ὄσα Πλανητῶν, μείζων φαίνεται, διὰ τὸ ἧττον τῆς Γῆς ἀπέχειν. ἔςι δὲ τὸ μέγεθος αὐτῆς ὑποπεντηκονταπλάσιον τοῦ τῆς Γῆς μεγέθους. (1)

(1) Λόγον ἔχει τὸ τῆς Σελήνης μέγεθος πρὸς τὸ τῆς Γῆς, ὃν 1 πρὸς τὸ 55. (α)

§. 90. Πεφωτισμένον διαπαντός ἐςιν ὑπὸ τοῦ Ἡλίου τὸ ἥμισυ τῆς Σελήνης, ὡς ἡμισφαίριον· ὃ φαίνε-

(α) Η' Σελήνη εἶναι ὁ μόνος Δορυφόρος τῆς Γῆς μας, καὶ καθὼς οἱ Πλανῆται κινοῦνται περὶ τὸν Ἥλιον, ἔτσι καὶ οἱ Δορυφόροι περὶ τῆς ἰδίας αὐτῶν Πλανήτας, ὡς καὶ ἡ Σελήνη περὶ τὴν γῆν· αὐτη κινεῖται ἀπὸ δυσμῶν εἰς ἀνατολὰς εἰς διάςημα 27 ἡμερ. καὶ 8 ὡρ. καὶ ἀπὸ νέαν ἕως νέαν Σελήνην 29 ἡμέρας 13 ὡρ. ἡ μὲν διάμετρός της εἶναι 468 μίλ. ἡ δὲ περιφέρειά της 1377 μίλ. εἶναι μικροτέρα τῆς Γῆς 50 φοραῖς, ἀπέχει αὐτῆς 5,200 μίλ. ἡ ἐπιφάνεια αὐτῆς εἶναι ὁμοία τῆς Γῆς, τὰ δὲ ὄρη αὐτῆς ὑψηλότερα, καὶ ὑψαίςερα.

ται δὲ διαπαντὸς πεφωτισμένον ὡς πρὸς τὴν ἡμετέραν ὅρασιν διὰ τὰς πρὸς τὸν Ἥλιον ἀποςάσεις· ὅταν μὲν γὰρ ἐν τῇ τριακάδι ἐν τῇ αὐτῇ μοίρᾳ γένηται ὁ Ἥλιος ἐ ἡ Σελήνη, τότε τὸ ἡμισφαίριον τὸ ἐπεςραμμένον μὲν πρὸς τὸν Ἥλιον, ἀπεςραμμένον δὲ ἀπὸ τῆς ἡμετέρας ὁράσεως φωτίζεται. ὅθεν εὐλόγως ἀθεώρητον γίνεται τὸ πεφωτισμένον τῆς Σελήνης μέρος. ὑποτροχάζει γὰρ αὕτη τῷ Ἡλίῳ, ἐ ὑποκάτω αὐτȣ̃ φέρεται. ὅταν δὲ παραλλάξῃ ἡ Σελήνη πρὸς τὸν Ἥλιον περὶ τὴν νȣμενίαν, τότε μηνοειδὴς ἡ Σελήνη θεωρεῖται. τȣ̃ γὰρ ἡμισφαιρίȣ τȣ̃ πεφωτισμένȣ μικρὸν μέρος παρακλίνεται πρὸς τὴν ἡμετέραν ὅρασιν· ὅταν δὲ ἀπέχῃ ἀπὸ τȣ̃ Ἡλίȣ ἐν ταῖς ἐφεξῆς ἡμέραις, πλεῖον ἀεὶ, καὶ πλεῖον τὸ πεφωτισμένον ὑφ᾿ ἡμῶν θεωρεῖται· ὅταν δὲ τὸ πρῶτον τέταρτον μέρος τȣ̃ Ζωδιακȣ̃ κύκλȣ ἀπέχῃ, διχότομος θεωρεῖται· τότε γὰρ ἡμισφαιρίȣ τȣ̃ πεφωτισμένȣ ὑπὸ τȣ̃ Ἡλίȣ τὸ ἥμισυ ἐφ᾿ ἡμᾶς ἐπέςραπται. μείζονος δὲ γενομένȣ τȣ̃ διαςήματος τῆς Σελήνης ἀπὸ τȣ̃ Ἡλίȣ, μεῖζον ἐ τὸ πεφωτισμένον. ὅταν δὲ κατὰ Διάμετρον γένηται τῷ Ἡλίῳ τὸ πεφωτισμένον ἡμισφαίριον ἐναντίον γίνεται πρὸς τὴν ἡμετέραν ὅρασιν. καὶ καθόλȣ δὲ πρὸς λόγον τῶν διαςάσεων τὰ μεγέθη τῶν φωτισμῶν θεωρεῖται. (α)

§. 91. Τῇ ἰδίᾳ κινȣμένη φορᾷ ἡ Σελήνη κύκλον διαγράφει τὸν ἐκλειπτικὸν κατὰ δύω σημεῖα τέμνοντα, Συνδέσμȣς καλȣ́μενα.

§. 92. Ἔςι δὲ ἡ ἰδία τῆς Σελήνης φορὰ πολλῷ ταχυτέρα τῆς τȣ̃ Ἡλίȣ· ἐ γὰρ ἡ Σελήνη μετὰ ἡμε-

(α) Ὅρα τὸ 20 σχῆμα.

ρας 27, ἐ ὥρας περίπυ 8 ὅλον τὸν εἰρημένον (§. 91.) διαπορεύεται κύκλον. καθ' ὃν χρόνον ὁ Ἥλιος τῇ ἰδίᾳ κινήσει μοίρας μόνον περίπυ 27 διανύει τῦ ὑπ' αὐτοῦ γραφομένυ κύκλυ.

§. 93. Μὴν ἐςι χρόνος ἀπὸ Συνόδυ ἐπὶ Σύνοδον. (ὅρα §. 81.) διαπορεύεται δὲ ἡ Σελήνη ἐν τῷ μηνιαίῳ χρόνῳ τόν τε Ζωδιακὸν κύκλον τὴν περιδρομὴν τῦ ὑπ' αὐτῆς γραφομένυ κύκλυ ποιῆσα, ἐ ἔτι τὴν περιφέρειαν, ἣν ὁ Ἥλιος ἐν τῷ αὐτῷ χρόνῳ εἰς τὰ ἑπόμενα τῶν Ζωδίων μεταβαίνει· αὐτη δὲ ἡ περιφέρειά ἐςιν ὡς ἔγγιςα Ζωδίυ.

§. 94. Ἔςι δὲ ὁ μὲν ἀκριβὴς μηνιαῖος χρόνος ἡμερῶν 29, ὡρῶν 12 ἐ λεπτῶν 44. οἱ δὲ πρὸς τὴν πολιτικὴν ἀγωγὴν ὁλοσχερέςερον λαμβανόμενοι μηνιαῖοι χρόνοι εἰσὶν ἡμερῶν 29 ἐ ὡρῶν 12. ὥςε τὸν δίμηνον χρόνον γενέσθαι ἡμερῶν 59. διὰ ταύτην ὖν τὴν αἰτίαν οἱ μῆνες ἐναλλὰξ ἄγονται πλήρεις, ἐ κοῖλοι· πλήρης μὲν ἐςὶ μὴν ἡμερῶν 30, κοῖλος δὲ ἡμερῶν 29· ἐκ τύτων δὲ συνάγεται ὁ κατὰ Σελήνην ἐνιαυτὸς ἡμερῶν 354.

§. 95. Λαμβάνει δὲ πάντας τὺς σχηματισμὺς ἡ Σελήνη ἐν τῷ μηνιαίῳ χρόνῳ, δὶς αὐτὺς ἀποτελῆσα. εἰσὶ δὲ οἱ σχηματισμοὶ οἵδε· Μηνοειδής, περὶ τὰς ἀρχὰς ἐ τὰ ἔσχατα τῶν μηνῶν· Διχότομος περὶ τὴν 8, ἐ πάλιν περὶ τὴν 23 τῦ μηνός· Ἀμφίκυρτος περὶ τὴν 12, ἐ πάλιν μετὰ τὴν διχομηνίαν, ἐ Πανσέληνος περὶ τὴν διχομηνίαν. (a)

---

(a) Ἰςέον δὲ, ὅτι μῆνα κυρίως ἔλεγον οἱ Ἕλληνες τὸν χρόνον τὸν ἀπὸ τῆς σεληνιακῆς συνόδυ, παρὰ τὸ μένειν, ἢ παρὰ τὴν μήνην μῆνα ὀνομάσαντες. Ἐμέτρυν γὰρ οἱ Ἕλληνες τὺς

§. 96. Τὸν μὲν ἀπόγειον αὐτῆς τόπον διαπορευομένη ἡ Σελήνη ἀπέχει τῆς Γῆς μίλια 54,000· τον δὲ περίγειον 53,7000.

## ΚΕΦΑΛΑΙΟΝ Γ.

## Περὶ ἐκλείψεως Ἡλίȣ καὶ Σελήνης.

§. 97. Ἐπειδὰν Σύνοδος συμβῇ τῶν δύω φωςήρων, τῆς Σελήνης ἐν θατέρῳ τῶν Συνδέσμων (ὅρα §. 91.) ȣ̓́σης, ὅπερ ἐςὶν ἐν τῷ αὐτῷ τῷ ἐκλειπτικῷ κύκλȣ ἐπιπέδῳ, ἐπιπροσθεῖται τότε ὑπ᾽ αὐτῆς ὁ Ἥλιος, παρεμπιπτȣ́σης μεταξύ τε αὐτȣ̃ ϗ τῆς Γῆς· ὥςε εὐλόγως ἡ τȣ̃ Ἡλίȣ ἔκλειψις, παρέμπτωσις λέγεται Σελήνης μεταξὺ Ἡλίȣ ϗ Γῆς. ȣ̓κ ἔκλειψιν δὲ κυρίως

---

μῆνας πρὸς τὸν τῆς Σελήνης δρόμον. *Αἰγύπτιοι* δὲ πρὸς τὸν τȣ̃ *Ἡλίȣ.* Ἀπὸ δὲ γένεσις τρίτην ἡμέραν ἄγȣσα ἡ Σελήνη, μηνοειδὴς κατὰ τὸ σχῆμα τȣ̃ φωτὸς καλεῖται, ἡνίκα λεπτὸν φῶς τοῖς κέρασιν ἐπιτρέχει, ὀγδοαία δὲ ȣ̓̃σα, διχότομος ὀνομάζεται, ὅταν τȣ̃ κύκλȣ αὐτῆς τὸ ἥμισυ φωτίζῃ· δεκαταία δὲ ἀμφίκυρτος, ὅταν τῷ διχοτόμῳ κυρτώσεις προσγίνωνται φωτὸς, ὥςε πλέον ἢ τὸ ἥμισυ τȣ̃ κύκλȣ φωτισθῆναι. *Πεντεκαιδεκαταία* δὲ ȣ̓̃σα πανσέληνος ϗ διχόμηνος, πληρωθῆσα τῷ φωτί. *Πᾶσα* γὰρ ἐν διαμέτρῳ ȣ̓̃σα τῷ ἡλίῳ διχασθέντα, ἐν ιε. ἡμέραις, δηλοῖ τὸν μῆνα. *Ἐντεῦθεν* λοιπὸν κατὰ τὸ ἀνάπαλιν, β. ἀμφίκυρτος, β. διχότομος, δευτέρῳ μηνοειδὴς, ἔπειτα ἀρπαγιμαῖα· ἀφανὴς γὰρ λοιπὸν γίνεται ὑπὸ τὰς τȣ̃ ἡλίȣ αὐγὰς γενομένη, ἔπειτα συνοδικὴ, ἡνίκα ἐν τῷ αὐτῷ *Ζωδίῳ* τὰς αὐτὰς μοίρας ἔχει, ἐπειδὰν δὲ τὴν *Ἰσομοιρίαν* παραλλάξῃ τότε πάλιν γεννᾶν φαμέν.

αὐτὴν ζητέον, ἀλλ' ἐπιπρόσθεσιν. τοῦ μὲν γὰρ Ἡλίου οὐδὲν μέρος οὐδέποτε ἐκλείψει· ἡμῖν δὲ ἀθεώρητος γίνεται διὰ τὴν τῆς Σελήνης ἐπιπρόσθεσιν.

§. 98. Οὐκ ἐν ἄλλῃ ἡμέρᾳ ἐκλείπει ὁ Ἥλιος, εἰ μὴ ἐν τῇ τριακοςῇ, ὅτε συνοδεύει αὐτῷ ἡ Σελήνη.

§. 99. Οὐκ ἴσα ἁπανταχοῦ φαίνεται τὰ τῶν ἐκλελοιπότων τοῦ Ἡλίου μερῶν μεγέθη, ἀλλὰ κατὰ τὰς τῶν Κλιμάτων (ὅρα §. 136.) διαφορὰς μεγάλαι παραλλαγαὶ γίνονται. Κατὰ γὰρ τὸν αὐτὸν χρόνον, οἷς μὲν ὅλος ὁ Ἥλιος ἐκλείπει, οἷς δὲ τὸ ἥμισυ, οἷς δὲ τὸ ἔλαττον τοῦ ἡμίσεως, οἷς δὲ τὴν ἀρχὴν οὐδὲν μέρος τοῦ Ἡλίου ἐκλελοιπὸς θεωρεῖται. ὅσοι μὲν γὰρ κατὰ κάθετον οἰκοῦσι τῆς ἐπιπροσθήσεως, τούτοις ὅλος ἀθεώρητος γίνεται ὁ Ἥλιος, τοῖς δὲ ἔξω μέρος τι τῆς ἐπιπροσθήσεως ἔχουσι, μέρος τι τοῦ Ἡλίου ἐκλελοιπὸς βλέπεται· τοῖς δὲ ἔξω ὁλοσχερῶς τῆς ἐπιπροσθήσεως οἰκοῦσιν, οὐδὲν μέρος τοῦ Ἡλίου ἐκλελοιπὸς θεωρεῖται.

§. 100. Ἐπειδὰν ἡ Σελήνη κατὰ Διάμετρον γένηται τῷ Ἡλίῳ, ἐν τῷ ἑτέρῳ τῶν Συνδέσμων κειμένη, παρεμπίπτουσα ἡ Γῆ μεταξὺ αὐτῆς καὶ τοῦ Ἡλίου, ἐπισκιάζει αὐτήν· καὶ ἐκ τούτου γίνεται τῆς Σελήνης ἡ ἔκλειψις· τότε γὰρ ἐπὶ τῆς αὐτῆς εὐθείας κεῖται ὁ Ἥλιος καὶ ἡ Γῆ, καὶ τὸ σκίασμα τῆς Γῆς, καὶ ἡ Σελήνη. ἔςιν οὖν Σελήνης ἔκλειψις παρέμπτωσις Γῆς, μεταξὺ αὐτῆς, καὶ τοῦ Ἡλίου.

§. 101. Καθάπερ τὰ λοιπὰ τῶν σωμάτων φωτιζόμενα ὑπὸ τοῦ Ἡλίου, σκιὰς ἀποβάλλει, οὕτω καὶ ἡ Γῆ. διὰ δὲ τὸ μέγεθος αὐτῆς εἰλικρινῆ συμβαίνει τὴν σκιὰν εἶναι, καὶ βαθεῖαν· εἰς τὸ σκίασμα δὲ τῆς Γῆς ἐμπίπτουσα ἡ Σελήνη ἐκλείπει.

§. 102. Οὐ διαπαντὸς δὲ τὸ ἴσον τῆς Σελήνης μέρος ἐκλείπει· ἀλλ᾽ ὅταν μὲν ἐν αὐτοῖς ᾖ τοῖς Συνδέσμοις ἡ Σελήνη, ὅπερ ἐςὶ διὰ μέσυ τῦ Ἐκλειπτικῦ κύκλυ τὴν πάροδον ποιῆται, ὅλη ἐπιπίπτει εἰς τὸ σκίασμα τῆς Γῆς, ὥςε ἀναγκαῖον ϗ ὅλην αὐτὴν ἐκλείπειν· ὅταν δὲ ἔγγιςα τῶν Συνδέσμων γίνηται, μέρος τι παράπτεται τῦ σκιάσματος, διὸ μέρος τί ἐκλείπει. (α)

## ΚΕΦΑΛΑΙΟΝ ΙΑ΄.

## Περὶ Ἀςρονομικῶν Δογμάτων.

§. 103. Τρεῖς αἱ κυριώτεραι περὶ τῦ συςήματος τῦ παντὸς τῶν Ἀςρονόμων Δόξαι· ἡ τῦ Πτωλεμαίου, ἡ τῦ Τύχωνος, ϗ ἡ τῦ Κοπερνίκυ.

§. 104. Κατὰ τὴν τῦ Πτωλεμαίυ (1) δόξαν, ἡ μὲν Γῆ ἐν τῷ κέντρῳ τῦ παντὸς ἀκίνητος κεῖται, ἅπαντες δὲ οἱ Πλανῆται περὶ αὐτὴν περιάγονται κατὰ τήνδε τὴν θέσιν, ϗ τάξιν· ἐγγυτέρα τῆς γῆς τῶν ἄλλων ἡ Σελήνη, μετ᾽ αὐτὴν δὲ ὁ Ἑρμῆς, μετὰ τῦτον ἡ Ἀφροδίτη, εἶτα ὁ Ἥλιος, ἔπειτα ὁ Ἄρης, μετ᾽ αὐτὸν ὁ Ζεὺς, μετὰ τὸν Δία ὁ Κρόνος, εἶτα ἡ πολύαςρος Σφαῖρα, ἐπάνω δὲ αὐτῆς ὁ κρυςάλλινος Οὐρανὸς, καὶ ὑπεράνω αὐτῦ τὸ καλύμενον Στερέωμα. (β)

(1) Ὁ Κλαύδιός ἐςιν ὗτος, ὁ μαθηματικὸς, ὁ ἐκ Πηλυσίυ καταγόμενος, ϗ θειότατος ϗ σοφώτατος καλύμενος, ὁ ἐν Ἀλεξανδρίᾳ περὶ τὸ 138· ἀπὸ Χριςῦ ἔτος

(α) Ὅρα τὸ 21 σχ. Η ὁ Ἥλιος Σ ἡ Σελήνη, Γ ἡ γῆ.

(β) Ὅρα τὸ 22 σχῆμα.

ἀκμάσας. τῶν δὲ συγγραμάτων αὐτῦ τὰ κυριώτερα, τὸ Ἀλμαγέςον, τὸ περὶ Ἀςρολογικῶν κριτηρίων, ϗ ἡ ἐπιπεδοσφαῖρα.

§. 105. Κατὰ τὸ δόγμα τέτε οἱ Πλανῆται τῇ ἰδίᾳ κινήσει φερόμενοι, τετέςι τῇ ἀπὸ δύσεως ἐπὶ ἀνατολὴν, μικρόν τινα γράφεσι κύκλον, Ἐπίκυκλον καλέμενον, ἕ τὸ κέντρον ἐπὶ τῆς περιφερείας κεῖται τοῦ γραφομένε ὑπ᾽ αὐτῶν κύκλε τῇ κοινῇ φορᾷ, τε ϗ τῇ Γῇ ὁμοκέντρε. Ἕκαςος ἕν τῶν Πλανητῶν ἀπόγειος μὲν γίνεται, τὸ ἄνω τῆ ἐπικύκλε διαπορευόμενος τόξον· περίγειος δὲ τὸ κάτω, τὸ ϗ τῆς Γῆς πλησιέςερον.

§. 106. Κατὰ δὲ τὴν τῆ Τύχωνος (2) αἵρεσιν, περὶ μὲν τὴν Γῆν, ὡς περὶ κέντρον, ἡ Σελήνη περιφέρεται ϗ ὁ Ἥλιος· περὶ δὲ τὸν Ἥλιον οἱ λοιποὶ πέντε Πλανῆται, κατὰ τὴν εἰρημένην (§. 104.) τάξιν, ὁ Ἑρμῆς, εἶτα ἡ Ἀφροδίτη ϗ μετ᾽ αὐτὴν ὁ Ἄρης, μετὰ τὸν Ἄρην ὁ Ζεὺς, ϗ μετὰ τὸν Δία ὁ Κρόνος· ὑπεράνω δὲ πάντων ἡ πολύαςρος Σφαῖρα, ἐ περὶ τὸν Ἥλιον, ἀλλὰ περὶ τὴν Γῆν, ἔχει κέντρον περιαγομένη. (α)

(2) Τῦ ϗ Τυχο-βραὲ καλεμένε. Δάνος ἦν ἕτος τὴν πατρίδα, γεννηθεὶς μὲν ἔτει 1546, τελευτήσας δὲ ἔτει 1601· τῶν συγγραμμάτων αὐτῦ τὰ κυριώτερα εἰσὶ τάδε. 1. Προγυμνάσματα τῆς ἀνακαινιθείσης Ἀςρονομίας. 2. Περὶ τῶν κατωτέρων Φαινομένων τῦ Αἰθερίε κόσμε. 3. Βιβλίον Ἀςρονομικῶν ἐπιςολῶν.

§. 107. Κατὰ δὲ τὸ δόξαν τῷ Κοπερνίκῳ (3) ὁ Ἥλιος κέντρον τῦ παντός ἐςι, περὶ ὃν οἱ Πλανῆται περιάγονται κατὰ τήνδε τὴν τάξιν· ἐγγύτερον μὲν τοῦ

(α) Ὅρα τὸ 23 σχῆμα.

Ἡλίου ὁ Ἑρμῆς, μετ᾽ αὐτὸν δὲ ἡ Ἀφροδίτη, καὶ μετ᾽ αὐτὴν ἡ Γῆ. Πλανῆται κατὰ τὸν Κοπέρνικον· εἶτα ὁ Ἄρης, καὶ μετ᾽ αὐτὸν ὁ Ζεύς, μετὰ δὲ τὸν Δία ὁ Κρόνος. (α)

(3) Οἱ Πυθαγόρειοι τοῦ δὲ τοῦ δόγματος πατέρες (β), ἐν οἷς ἐπίσημος ὁ ἐκ Κροτώνης Φιλόλαος, καὶ Ἀρίσαρχος ὁ Σάμιος, ὁ καὶ ὡς ἀσεβὴς ἐν τῷ Ἀρείῳ πάγῳ κατηγορηθείς, καὶ τὴν κατηγορίαν ἀποσεισάμενος, πάντων τῶν Ἀρεοπαγητῶν κατὰ τοῦ κατηγόρου αὐτοῦ ψηφισάντων. μετὰ δὲ τούτους κατὰ τὸ 1515 ἀπὸ Χρισοῦ ἔτος Νικόλαος ὁ Κοπέρνικος, ὁ ἐκ Θόρνης, ἢ Τόρυ πόλεως τῆς Προυσίας τὴν ἀρχαίαν ταύτην περὶ τῆς κινήσεως τῆς Γῆς ἀνακαινίσας αἵρεσιν, Κεπλέρον, καὶ Νεύτωνα, καὶ πάντας τοὺς νῦν ὁ παδοὺς ἔχει Ἀσρονόμους. κατέλιπε δὲ ποιήματα δύω, τὸ μὲν περὶ κινήσεως τῆς ὀγδόης Σφαίρας τὸ δὲ περὶ Κυκλοφοριῶν.

§. 108. Πάλιν περὶ μὲν τὴν Γῆν, ὡς περὶ κέντρον, ἡ Σελήνη περιφέρεται· περὶ δὲ τὸν Δία, οἱ τέσσαρες αὐτοῦ Δορυφόροι· περὶ δὲ τὸν Κρόνον οἱ πέντε Δορυφόροι τοῦ Κρόνου.

§. 109. Φέρεται δὲ ἡ Γῆ φορὰς δύω, τὴν περὶ τὸν ἴδιον Ἄξονα ἀπὸ δύσεως ἐπὶ ἀνατολήν, ἐν ὥραις 24, ὅλην τὴν περιδρομὴν αὐτῆς ἐκπληροῦσα, καὶ ἀποκαθισαμένη, ὅθεν ἤρξατο φέρεσθαι· καὶ τὴν περὶ τὸν Ἡ-

---

(α) Ὅρα τὸ 23 σχ. Πίν. 4.

(β) Τὴν δὲ γῆν ἓν τῶν ἄστρων οὖσαν κύκλῳ φερομένην περὶ τὸ μέσον, νύκτα τε καὶ ἡμέραν ποιεῖν, παρὰ τῷ Ἀρισοτ. περὶ Οὐραν. βιβλ. β΄. κεφ. ιγ΄.

λιον, μετὰ ἐνιαυτὸν περιοδεύουσα ἕνα. διὸ δὴ, ἡ μὲν Ἡμερήσιος, ἡ δὲ Ἐνιαύσιος λέγεται. (α)

---

(α) Τὸ Ἡλιακὸν Σύστημα ἔχει κέντρον τὸν Ἥλιον (ὅρα σχ. 23. Πιν 4) τὸ ὁποῖον ἐξηγεῖ φυσικώτατα ὅλα τὰ φαινόμενα, κινοῦνται περὶ αὐτὸν οἱ ἑξῆς ἐννέα Πλανῆται. Α. Ὁ πλησιέστερος τοῦ Ἡλίου εἶναι ὁ Ἑρμῆς, κάμνει τὸν κύκλον του περὶ τὸν Ἥλιον εἰς ὀκτὼ μιλιόνια μίλια, ἡ διάμετρός του εἶναι 6○8 μίλ. ὁ σωματικὸς ὄγκος του κάμνει τὸ 15 μέρος τῆς γῆς, τὴν δὲ κίνησίν του περὶ τὸν Ἥλιον εἰς 87 ἡμέρας 23 ὥρ. καὶ ἐν τούτ.

Β. Μετ' αὐτὸν εἶναι ἡ Ἀφροδίτη, ἡ μὲν διάμετρος αὐτῆς εἶναι 1615 μιλ. κάμνει δὲ τὸν κύκλον της περὶ τὸν Ἥλιον εἰς 15 μιλιόν. μιλ. εἰς 224 ἡμέρ. καὶ 17 ὥρας, ὁ δὲ σωματικὸς αὐτῆς ὄγκος εἶναι ἐννέα τῶν δέκα τῆς γῆς.

Γ. Ἡ Γῆ (ὁ τρίτος Πλανήτης) περιτρέχει ἕνα διάστημα ἀπὸ 40 μιλιόνια μίλια περὶ τὸν Ἥλιον εἰς 365 ἡμέρ. 5 ὥρ. καὶ 48 λεπ. καὶ περὶ τὸν ἄξονά της 24 ὥρ. ἡ Διάμετρός της εἶναι 1,720 μίλ. ἡ περιφέρεια αὐτῆς 5,400 μίλ. ἡ ἐπιφάνεια αὐτῆς ἔχει 9.288,000 τετραγωνικὰ μίλ. εἶναι 50 φοραῖς μεγαλητέρα τῆς Σελήνης, ἀφίσταται τοῦ Ἡλίου 21 μιλιόνια μίλ. εἰς τὸν Ἰσημερινὸν εἶναι ὑψηλοτέρα παρὰ εἰς τοὺς Πόλους, ἡ ἡμιδιάμετρος τοῦ Ἄξονος πρὸς τὴν τοῦ Ἰσημερινοῦ εἶναι 187 : 189, ἡ μὲν περίμετρος τοῦ Μεσημβρινοῦ εἶναι 5393, τοῦ δὲ Ἰσημερινοῦ 5407 μίλια. Σημείωσαι. Πρὸς περισσοτέραν κατάληψιν τῆς καταμετρήσεως τῆς Γῆς μετέλθε ὁ ἀναγνώστης.

„Bode Anleitung zur allgemeinen Kenntniß der Erdkugel.

„La figure de la terre determinée par les observations de MM. Maupertius, Clairaut, Camas, le Monnier et Outhier, accompagnés de M. Celsius, par M. Maupertius. Paris 1738. Amst. 1738.

„La figure de la terre determinée par MM. Bouguer et de la Condamine par M. Bouguer. Paris 1749.

„Iournal du Voyage fait par ordre du Roi à l'Equateur par M. de la Condamine.

„Cassini Jacq. de la figure et de la grandeur de la terre.

## ΚΕΦΑΛΑΙΟΝ ΙΒʹ.

## Περὶ τῶν λοιπῶν Πλανητῶν καὶ Κομητῶν.

§. 110. Περιάγεται μὲν, ὡς ἔοικεν ὁ Κρόνος, περὶ τὸν ἴδιον Ἄξονα· ϗ γὰρ ἐκλείψεσιν ὑπόκειται, καθάπερ ϗ οἱ περὶ αὐτὸν περιφερόμενοι Δορυφόροι αὐτῷ· ἄδηλος δὲ ὁ τῆς τοιᾶσδε περιαγωγῆς αὐτῷ χρόνος· ἔςι

---

*Δ.* Μετὰ τὴν Γῆν εἶναι ὁ *Ἄρης*, ὅτος ἀφίςαται τοῦ Ἡλίου 30 μιλλιόν· ϗ 440.000 μίλ. ϗ ἀπὸ τὴν Γῆν 9 μιλλιόν· ϗ 804,000 μίλ. εἶναι μικρότερος τῆς γῆς $3\frac{7}{26}$ φοραῖς, ἡ διάμετρός τυ εἶναι 1,150 μίλ. κινεῖται περὶ τὸν Ἥλιον εἰς 686 ἡμέρ. 23 ὥρ. ϗ $30\frac{1}{2}$ λεπ. ϗ περὶ τὸν ἄξονά τυ 24 ὥρ. 40 λεπ.

*Ϭ Πιάτζης.* Εἶναι μικρότερος τῆς Γῆς 6 φοραῖς, κάμνει τὴν κίνησίν τυ περὶ τὸν Ἥλιον εἰς 4 χρ. 219 ἡμ. 20 ὥρ. 15 λεπ.

*Μετὰ τῦτον ἐφευρέθη νεωςὶ εἰς τὰς 1802: 31 Μαρτ.* ϗ *Ἕτερος Πλανήτης Ὄλβερ* (ἀνεκαλύφθη ὑπὸ τῦ Ὄλβερ εἰς τὸ Βρέμ) ἡ περιφορά τυ διορίζεται 1704 ἡμέρας.

*Ε.* Ζεὺς, ἀφίςαται τῦ Ἡλίυ 104,060,000 μιλλιόν. μίλ. τῆς δὲ Γῆς 84 μιλλιόν. 796,000 μίλ. ἡ διάμετρός τυ ἔχει 18920 μίλ. εἶναι μεγαλήτερος τῆς Γῆς 8,221 φοραῖς· κινεῖται περὶ τὸν Ἥλιον εἰς 11 χρόνυς 315 ἡμέρας 14 ὥρ. 50 λεπ. ϗ περὶ τὸν ἄξονά τυ 9 ὥρ. 56 λεπ. ἔχει δὲ ϗ Δορυφόρυς· ἤτοι Σελήνας Τέσσαρας.

*ς.* Κρόνος, ἀφίςαται τῦ Ἡλίυ 191 μιλλιόν. μίλ, εἶναι $31375\frac{1}{9}$ φοραῖς μεγαλήτερος τῆς Γῆς, ἡ διάμετρός τυ ἔχει 17160 μίλ. κινεῖται περὶ τὸν Ἥλιον εἰς 29 χρόνυς 167 ἡμέρ. 1 ὥρ. 52 λεπ. ἔχει δὲ ἑπτὰ Δορυφόρυς, ϗ δύο δακτύλια.

*Ζ.* Οὐρανὸς, ὃς ϗ Ἕρχελ: εἶναι 80 φοραῖς μεγαλήτερος τῆς Γῆς· κινεῖται περὶ τὸν Ἥλιον εἰς 84 χρ. 8 ἡμ. 18 ὥρ. ἔχει ϗ Δορυφόρυς ὀκτώ.

δὲ τὸ μὲν μέγεθος αὐτῦ χιλιοπλάσιον τῦ τῆς Γῆς μεγέθυς· ἡ δὲ ἀπὸ τῦ Ἡλίυ ἀπόςασις, μικρῦ δεῖν δεκαπλάσιος τῆς ἀποςάσεως τῆς Γῆς.

§. 111. Ὁ δὲ Ζεὺς μικρόν τι μίζων ὢν τῦ Κρόνυ, ὅλην τὴν περὶ τὸν ἴδιον Ἄξονα περιδρομὴν διανύει μεθ᾽ ὥρας δέκα. Διὸ δὴ δωδεκάωρον τὸ ἐκεῖ ἡμερονύκτιον. προλέγονται δὲ ϗ αἱ τῶν Δορυφόρων αὐτῦ ἐκλείψεις, ϗ διὰ τῶν Τηλεσκοπίων ἐναργῶς καθορῶνται.

§. 112. Ὁ δὲ Ἄρης μικρῦ δεῖν ἰσομεγέθης ὢν τῇ Γῇ, ὅλην τὴν περὶ τὸν ἴδιον Ἄξονα ἐκτελεῖ περιςροφὴν μετὰ ὥρας 24 ϗ λεπτὰ 40.

§. 113. Ἡ δὲ Ἀφροδίτη ἰσομεγέθης ὡς ἔγγιςα τῇ Γῇ ὖσα, μετὰ ὥρας 24 ϗ λεπτόν, τὴν περὶ τὸν ἴδιον Ἄξονα περιφορὰν ἐκπληροῖ.

§. 114. Περὶ δὲ τῆς τῦ Ἑρμῦ περὶ τὸν ἴδιον Ἄξονα περιαγωγῆς δῆλον ὐδέν· ἐγκαταδυόμενος γὰρ ὖτος τῷ ἡλιακῷ φωτὶ, φεύγει τὰς Ἀςρονομικὰς παρατηρήσεις.

§. 115. Ὁ μὲν Κρόνος, ὃν περὶ τὸν Ἥλιον γράφει κύκλον (τὴν ἰδίαν φορὰν κατὰ τὸν Πτολεμαῖον φερόμενος) διανύει ἐν ἡμέραις 10759, ϗ ὥρας 8· ὅπερ ἐςὶ μετὰ ἔτη περίπυ 30. ὁ δὲ Ζεὺς ἐν ἡμέραις 4332 καὶ ὥραις 12, τυτέςιν ἐν ἔτεσι περίπυ 12· ὁ δὲ Ἄρης ἐν ἡμέραις 686. ὥραις 23, ϗ λεπτὰ 30½, ἤτυν ἐν ἔτεσι περίπυ 2· ἡ δὲ Ἀφροδίτη μεθ᾽ ἡμέρας 224 ὥρ. 20, ϗ λεπτὰ 7½, ἤτοι μετὰ μῆνας περίπυ 7½· ὁ δὲ Ἑρμῆς μεθ᾽ ἡμέρας 87, ὥρ. 23, ϗ λεπτὰ 15½, ἤγυν μετὰ μῆνας περίπυ 3.

§. 116. Ἡ Ἀφροδίτη προηγυμένη μὲν τῆς τῦ Ἡ-

λίυ ἀνατολῆς, Ἑωσφόρος λέγεται· ἑπομένη δὲ τῇ τῦ Ἡλίυ δύσει Ἕσπερος.

§. 117. Καὶ οἱ Κομῆται, Πλανῆταί εἰσιν ὑπὸ τῦ Ἡλίυ αὐγαζόμενοι, ϗ περὶ αὐτὸν περιαγόμενοι, καὶ σχῆμα τῇ τοιᾷδε περιφορᾷ προμηκέςατον ἐλλειψοειδὲς (ὅρα §. 19.) καταγράφοντες.

§. 118. Ἡ μὲν τῶν ἐςιῶν τῦ τοιῦτε ἐλλειψοειδῦς σχήματος ἐγγὺς τῦ Ἡλίυ κεῖται, ἡ δὲ πόῤῥω ϗ αὐτῆς τῆς τῦ Κρόνυ Σφαίρας. Διὸ δὴ ὅτε μὲν ὁ Κομήτης τὴν πλησίον τῦ Ἡλίυ περιφέρειαν τῦ ἐλλειψοειδῦς διαπορεύεται, περιήλιος γινόμενος ἡμῖν ἐμφανίζεται· ὅτε δὲ τὴν πόῤῥω, ἀφήλιος γενόμενος, ἀφανὴς γίνεται.

§. 119. Ἐκ τῶν εἰρημένων δῆλον, ὅτι ὀδεὶς τῶν Κομητῶν ὅλην τὴν περὶ τὸν Ἥλιον ἐκπληροῖ περιαγογὴν πρὶν τῶν 80, ἢ 70 ἐνιαυτῶν.

§. 120. Κομήτης δὲ ἐκλήθη, διὰ τὴν ἐν αὐτῷ φαινομένην τῦ φωτὸς οἱονεὶ κόμην.

## ΚΕΦΑΛΑΙΟΝ ΙΓ΄.

## Περὶ Γῆς, ϗ τῆς αὐτὴν ἐμφαινύσης τεχνητῆς Γηΐνης Σφαίρας.

§. 121. Ὅτι μὲν περιφερὴς ἡ Γῆ δῆλον ἔκ τε τῦ τὸ σκίασμα αὐτῆς ὡς τόξον κύκλυ φαίνεσθαι ἐπὶ τῆς Σελήνης, ἐν μέρει ἐκλειψάσης· ϗ ἐκ τῦ ἐμφανεῖς γίνεσθαι ἐνίυς τῶν ἀφανῶν Ἀςέρων, ἐπειδάν τις ἤτοι ἐπὶ τὰ βορειότερα, ἢ ἐπὶ τὰ νοτιώτερα μέρη αὐτῆς πορευθῇ.

§. 122. Σφαῖρα μὲν κατὰ τὸν ἀκριβῆ λόγον ὀκ ἔςιν ἡ Γῆ, ϗ γὰρ ἀνισοί εἰσιν αἱ Διάμετροι αὐτῆς, ϗ

πολλὰ ἐν τῇ ἐπιφανείᾳ αὐτῆς ὄρη καὶ πεδία, καὶ ἀνωμαλίαι, καὶ ἀνισότητες. ἐπεὶ δὲ μικρὰ μὲν ἡ τῶν Διαμέτρων διαφορά· καὶ γὰρ ἡ μείζων ἡ διὰ τοῦ Ἰσημερινοῦ, πρὸς τὴν ἐλάσσονα, τὴν διὰ τῶν Πόλων, λόγον ἔχει, ὃν 230 πρὸς τὸν 229 ἀριθμόν· μικραὶ δὲ ὡς πρὸς τὸ ὅλον τῆς Γῆς μέγεθος καὶ αἱ εἰρημέναι ἀνισότητες, ὡς Σφαῖρα ἀκριβὴς ἡ Γῆ ἐκλαμβάνεται.

§ 123. Ἅπασα μοῖρα παντὸς μεγίστου κύκλου (ὅρα §. 17.) τῶν ἐπὶ γῆς μίλια περιέχει Γερμανικὰ μὲν 15, Γαλλικὰ δὲ 25· διὰ τῶν Γερμανικῶν δὲ ἅπαν ἐν τῇδε τῇ πραγματείᾳ ἐμφαίνεται μέτρον. (α)

§. 124. Ἡ τῆς Γῆς Διάμετρος ἴση ὡς ἔγγιστα μιλίοις 1,800· ἐπεὶ γὰρ πᾶσα μὲν κύκλου Περιφέρεια εἰς 360 μερίζεται μοίρας (§. 13.) πᾶσα δὲ μοῖρα τῶν ἐπὶ γῆς μεγίστων κύκλων μίλια περιέχει 15, ὅλη ἄρα ἡ περιφέρεια ἑνὸς τῶν μεγίστων κύκλων, οἷον τοῦ Ἰσημερινοῦ, ἴση 5400. ἔστι δὲ πᾶσα περιφέρεια τριπλασία ὡς ἔγγιστα τῆς διαμέτρου. ἡ ἄρα Διάμετρος τῆς Γῆς ἴση περίπου μιλίοις 1,800 (β)

§. 125. Δύω καὶ οἱ τῆς Γῆς Πόλοι, ὅτε Ἀρκτικὸς, ἐπ' εὐθείας ὑπὸ τῶν ἐν οὐρανῷ Ἀρκτικὸν κείμενος, καὶ ὁ Ἀνταρκτικὸς, ὑπὸ τὸν ἐν οὐρανῷ Ἀνταρκτικὸν ὁμοίως· πλὴν δὲ τῶν Κολούρων, καὶ οἱ κύκλοι πάντες οἱ ἐν τῷ Οὐρανῷ ὑπολαμβανόμενοι, καὶ ἐπὶ τῆς Γῆς λόγῳ νοοῦνται, διαιροῦντες αὐτὴν, καθάπερ καὶ τὸν οὐρανόν.

(α) Τὸ Γερμανικὸν μίλιον εἶναι δίπορον, τὸ κοινὸν ὃ καὶ Γεωγραφικὸν μίλιον λέγεται, ἔχει 4000 βήματα, τὸ δὲ μέγα 5000· ὁ Συγγραφεὺς ἡμῶν τὸ κοινὸν Γεωγραφικὸν μεταχειρίζεται.

(β) Ὅρα τὴν σημ. τοῦ ιβ΄. κεφαλ.

§. 126. Πάντα τοιγαρᾶν ὅσα περὶ τῆς Κρικωτῆς εἴρηται Σφαίρας, ἢ τῇ τὴν Γῆν ἐμφαινέσῃ ἐφαρμόζει Σφαίρᾳ. ἢ γὰρ ἢ ἐπ' αὐτῆς γεγραμμένοι εἰσὶν ὁ Ἰσημερινὸς, ὁ Ζωδιακὸς, οἱ δύω Τροπικοὶ, ἢ οἱ δύω οἱ περὶ τὰς Πόλας κύκλοι.

§. 127. Γράφονται δὲ ἐν τῇ γηΐνῃ Σφαίρᾳ, κᾀν τοῖς καθολικοῖς Χάρταις παράλληλοι μὲν κύκλοι πρὸς τοῖς πέντε, τοῖς ἐν τῇ Κρικωτῇ Σφαίρᾳ (§. 33.) ἔτι δέκα ἢ ἓξ Παράλληλοι τᾶ Πλάτυς καλόμενοι. Μεσημβρινοὶ δὲ μόνον δέκα ἢ ὀκτὼ, κᾀν ἕκαςος τῶν ἐπὶ τῆς γῆς τόπων ἴδιον ἔχῃ Μεσημβρινὸν, (§. 46.) Κύκλοι τᾶ Μήκυς προσαγορευόμενοι.

§. 128. Πρῶτον δὲ Μεσημβρινὸν, ἀφ' ᾖ καταμετρεῖν τὰ Μήκη ἄρχονται, ᾖ τὸν αὐτὸν πάντες ἐκλαμβάνυσιν· ἀλλ' οἱ μὲν Γάλλοι τὸν τῆς νήσυ Φέῤῥο καλυμένης τῆς δυτικωτέρας πασῶν τῶν Καναρίων νήσων (Νῆσοι τῆς Ἀφρικῆς, Μακάραι νῆσοι ὑπὸ τῶν πάλαι καλύμεναι) ἀφ' ᾖ τὰ ὑπὸ τῆςδε τῆς πραγματείας διαλαμβανόμενα Μήκη ἐλήφθη· οἱ δὲ Ὀλλανδοὶ τὸν τᾶ ὑψηλοτάτυ ὄρυς Πίκυ, τᾶ ἐν τῇ Τενερίφᾳ νήσῳ τῶν Καναρίων· οἱ δὲ Ἄγγλοι τὸν τᾶ Λεζάρδ ἀκρωτηρίυ, τᾶ ἐν τῇ Ἀγγλίᾳ· οἱ δὲ Λυσιτανοὶ τὸν τῶν Ἀκορεῶν τῆς Ἀμερικῆς νήσων· οἱ δὲ Ἱσπανοὶ, τὸν τᾶ Τολέδυ, τᾶ ἐν τῇ νέᾳ Καςιλλίᾳ· ἄλλοι δὲ τὸν τᾶ Παρισίυ, ἢ ἄλλοι τὸν τᾶ Λονδίνυ.

§. 129. Ὡς Μεσημβρινὸς ἐν τῇ τεχνητῇ γηΐνῃ Σφαίρᾳ ἐκλαμβάνεται ὁ ἀκίνητος κύκλος, περὶ ὃν περιφέρεται· ἐν ᾧ ἢ μικρὸς κύκλος καλύμενος Ὡριαῖος ἐγκεκολλημένος ἐςὶ, κέντρον ἔχων τὸν Ἀρκτικὸν τῆς Γῆς Πόλον, ἢ εἰς δὶς δεωκαίδεκα μέρη μεμερισμένος,

τὰς ὥρας ἐμφαίνοντα· ὧν ἡ μὲν ἐπὶ τὰ κάτω δωδεκάτη, τὴν τῆς Μεσημβρίας ὥραν δηλοῖ, ἡ δὲ ἐπὶ τὰ ἄνω, τὴν τῆ Μεσονυκτίε· περιαγομένῃ δὲ τῇ Σφαίρᾳ, συμπεριάγεται Γνώμων τῷ κέντρῳ τῆ εἰρημένε μικρῆ κύκλε, εἴτεν τῷ Ἀρκτικῷ Πόλῳ ἐφηρμοσμένος, τὰς ὥρας δεικνύων, τὰς μὲν ἀπὸ τῆς Μεσημβρίας, ἄχρι τῆ Μεσονυκτίε ἐν τῷ πρὸς Ἀνατολὰς ἡμικυκλίῳ, τὰς δὲ ἀπὸ τῆ Μεσονυκτίε ἄχρι τῆς Μεσημβρίας ἐν τῷ κατὰ Δυσμάς.

§. 130. Βαςάζει δὲ τὴν αὐτὴν Σφαῖραν κύκλος, τὸν Ὀρίζοντα ἐμφαῖνον, ἐκ τριῶν συνεςηκὼς κύκλων. ϗ ἐν μὲν τῷ ἐσωτάτῳ τέτων τάτε Ζώδια γεγραμμένα εἰσὶ, ϗ αἱ μοῖραι· ἐν δὲ τῷ μέσῳ, οἱ Μῆνες, ϗ αἱ ἡΜέραι, ἐν δὲ τῷ ἔξω αἱ τέσσαρες τῆ παντὸς καθόλου διαιρέσεις, εἴτεν ἡ Ἄρκτος, ἡ Ἀνατολή, ἡ Μεσημβρία, ϗ ἡ Δύσις, ϗ τῶν καθολικωτέρων ἀνέμων τὰ ὀνόματα. (1)

(1) Ἰςέον ὅτι ϗ ἄλλως· ἔχεσιν ἔνιαι Σφαίραις οἱ κύκλοι, ἐξ ὧν ὁ Ὀρίζων συνέςηκεν, οἷον ὁ μὲν πρῶτος, ὁ ἐσώτατος εἰς δὶς 180 μοίρας διηρημένος ἐςὶν· ὁ δὲ μετ' αὐτὸν, εἰς 12 ἴσα μέρη, κατὰ τὸν ἀριθμὸν τῶν Ζωδίων, ὧν τὰ ὀνόματα ἐπιγέγραπται· ὁ δὲ μετ' αὐτὸν τρίτος, εἰς 365¼ μέρη, κατὰ τὰς τῆ ἐνιαυτῆ ἡμέρας· μετὰ δὲ τῆτον ἔτι τέσσαρες κύκλοι γεγραμμένοι εἰσι, χρήσιμοι τῇ εὑρέσει τῆ τόπε τῆ Ζωδιακῆ κύκλε, ἐφ' ἕ κατὰ πᾶσαν ἡμέραν ὁ Ἥλιος γίνεται, καὶ μικρῆ δεῖν ὁμοίως διηρημένοι· τέτων ὁ μὲν πρῶτος, ὁ ἔσω, τὸν πρῶτον μετὰ τὸν Βίσεκτον ἐνιαυτὸν ἐμφαίνει, κατὰ τὸ νέον ἔτος· ὁ δὲ δεύτερος, ὁ ἑξῆς, τὸν δεύτερον· ὁ δὲ τρίτος, τὸν τρίτον· ὁ δὲ τέταρτος, ὁ ἐξώτατος, αὐτὸν τὸν Βίσεκτον.

§. 131. Τέσσαρες οἱ καθολικώτεροι ἄνεμοι, καθάπερ ϗ αἱ καθολικαὶ διαιρέσεις, εἴτουν Α᾿παρκτίας, ὁ ἀπὸ τῆς ῎Αρκτυ πνέων, Α᾿πηλιώτης, ὁ ἀπ᾿ ᾿Ανατολῆς, Νότος, ὁ ἀπὸ Μεσημβρίας, ϗ Ζέφυρος, ὁ ἀπὸ Δύσεως. ὑποδιαιρῦσι δὲ αὐτὺς οἱ μὲν παλαιοὶ εἰς ὀκτὼ, ϗ εἰς δυωκαίδεκα, οἱ δὲ τὴν Μεσόγειον πλέοντες θάλασσαν, εἰς ἓξ πρὸς τοῖς δέκα. οἱ δὲ ᾿Ωκεανὸν εἰς δύω πρὸς τοῖς τριάκοντα. (α)

## ΚΕΦΑΛΑΙΟΝ ΙΔ΄.

## Περὶ τῶν ἐν Γῇ Ζωνῶν

§. 132. Η῾ συμπάσης τῆς Γῆς ἐπιφάνεια ὑπότε τῶν περὶ τὺς Πόλυς κύκλων ϗ τῶν τροπικῶν εἰς Ζώνας διαιρεῖται πέντε.

§. 133. Δύω μὲν εἰσὶν αἱ περὶ τὺς Πόλυς Ζῶναι, ὑπὸ τῶν περὶ τὺς Πόλυς κύκλων ἀφοριζόμεναι· πορρώτατα δὲ κείμεναι τῆς τῦ ῾Ηλίυ παρόδυ, Κατεψυγμέναι λέγονται διὰ τὸ ψύχος. ἑκατέρας δὲ τὸ πλάτος μοῖραι 23, ϗ λεπτὰ 28, εἴτυν μίλια 352.

§. 134. Δύω δὲ τύτων ἑξῆς αἱ ὑπὸ τῶν περὶ τὺς Πόλυς ϗ τῶν τροπικῶν κύκλων ἀφοριζόμεναι, ϗ μεταξὺ αὐτῶν κείμεναι· αἱ συμμέτρως κείμεναι πρὸς τὴν τῦ ῾Ηλίυ πάροδον, Εὔκρατοι καλῦνται· ἑκατέρας δὲ τὸ πλάτος μοῖραι περίπυ 43, τυτέςι μίλια ὡς ἔγγιςα 645.

§. 135. Η῾ δὲ λοιπὴ, μέση τῶν προειρημένων ἐςί· κειμένη δὲ ὑπ᾿ αὐτὴν τὴν τῦ ῾Ηλίυ πάροδον, Δια-

---

(α) ῞Ορα Πίν. 5 ϗ 6.

κεκαυμένη προσαγορεύεται· ἥτις διχοτομεῖται μὲν ὑπὸ τῦ ἐν Γῇ Ἰσημερινῦ, ἔχει δὲ πλάτος μοιρῶν περίπυ 47, ἤτοι μιλίων 705. (α)

## ΚΕΦΑΛΑΙΟΝ· ΙΕ΄.

### Περὶ τῶν ἐν Γῇ Κλιμάτων.

§. 136. Κλίμα λέγεται ὁ ὑπὸ δύω Παραλλήλων κύκλων περιεχόμενος ἐν Γῇ τόπος. εἰσὶ δὲ Κλίματα ἑξήκοντα, τριάκοντα μὲν ἐν τῷ Βορείῳ, τριάκοντα δὲ ἐν τῷ Νοτίῳ τῆς Γῆς ἡμισφαιρίῳ κείμενα, ἀπὸ τῦ Ἰσημερινῦ ἑκατέρωθεν ἀρχόμενα, ᾗ ἄχρις ἑκατέρυ τῶν Πόλων παρατεινόμενα. (β)

§. 137. Ἐν ἑκατέρῳ τῶν ἡμισφαιρίων εἰκοσιτέσσαρα μὲν Κλίματα κεῖται μεταξὺ τῦ Ἰσημερινῦ, ᾗ τῦ περὶ τὰς Πόλυς κύκλυ, ἓξ δὲ ἐν τῷ ἑξῆς τόπῳ, τῷ ἀπὸ τῦ περὶ τὰς Πόλυς κύκλῳ ἄχρις αὐτῦ τῦ Πόλυ.

§. 138. Ἡ μὲν διαφορὰ τῆς μεγίςης ἡμέρας (ὅρα §. 60, 62.) πάντων τῶν εἰκοσιτεσσάρων Κλιμάτων, ἀνὰ δύω λαμβανομένων, τῶν ἐγγὺς ἀλλήλων, ἡμιώριός ἐςιν· ἡ δὲ τῶν λοιπῶν ἕξ, ὁμοίως θεωρυμένων, μὴν ὁλόκληρος. εἰκότως ἂν τὰ μὲν προσαγορεύσειεν ἄντις Ημιωριαῖα, τὰ δὲ Μηνιαῖα Κλίματα.

§. 139. Τοῖς μὲν ὑπὸ τὸν Ἰσημερινὸν οἰκῦσιν ἀ-

---

(α) Ὅρα τὸ 10. σχῆμα Πιν. 2 τὸ εζ ᾗ ηθ· αἱ Κατεψυγμέναι· τὸ μεταξὺ αε, βζ, ᾗ θδ· ηγ· Εὔκρατος, τὸ δὲ α ΔΓ ᾗ β Δδ διακεκαυμένη.

(β) Ὅρα ἐν τῷ τέλει τὸν Ὁλικὸν Πίνακα.

πασα τῦ ἐνιαυτῦ ἡμέρα δωδεκάωρός ἐςι ϗ τῇ νυκτὶ ἴση. (§. 56.) διὸ δὴ ϗ ἡ μεγίςη παρ' αὐτῆς ἡμέρα δωδεκάωρος· τοῖς δὲ ὑπὸ τὸν περὶ τὸν Πόλον κύκλον, ἡ μεγίςη ἡμέρα ἐξ ὡρῶν σύγκειται εἰκοσιτεσσάρων. ὑπερέχει ἄρα ἡ μεγίςη ἡμέρα τῦ τόπυ τῦ ὑπὸ τὸν περὶ τὸν Πόλον κύκλον τὴν τῦ τόπυ τῦ ὑπὸ τὸν Ἰσημερινὸν, ὥρας δώδεκα. διὰ τῦτο ὖν ὅλον τὸν μεταξὺ τῶν κύκλων τύτων τόπον εἰς εἰκοσιτέσσαρα μέρη, εἴτυν Κλίματα, ὗτω διεῖλον, ὥςε ἑκάςυ Κλίματος τὴν μεγίςην ἡμέραν διαφέρειν τῆς τῦ πλησίον αὐτῦ Κλίματος μεγίςης ἡμέρας ἡμιώριον.

§. 140. Ἐπειδὴ δὲ ἡ μεγίςη ἡμέρα ὑπὸ τὸν κύκλον τὸν περὶ τὸν Πόλον διαφέρει τῆς μεγίςης ἡμέρας τῆς ἐν αὐτῷ τ.. Πόλῳ μῆνας ἕξ. (67.) διὰ τῦτο τὸν μεταξὺ τῦ εἰρημένυ κύκλυ ϗ τῦ Πόλυ τόπον, εἰς ἓξ Κλίματα ὗτως ἐμέρισαν, ὥςε τὴν μεγίςην ἡμέραν ἑκάςυ Κλίματος ὑπερέχειν τὴν μεγίςην ἡμέραν τῦ ἐγγὺς Κλίματος αὐτῦ μῆνα ἡμερῶν ὁλόκληρον.

§. 141. Ἄνισα ἅπαντα τὰ Κλίματα, ϗ τὰ μὲν ἡμιωριαῖα τοσῦτον ἐλάττονα, ὅσον τῦ Ἰσημερινῦ ἀπώτερα· τὰ δὲ μηνιαῖα τοσῦτον μείζονα, ὅσον τῶν Πόλων ἐγγύτερα.

## ΚΕΦΑΛΑΙΟΝ Ις'.

## Περὶ Πλάτυς καὶ Μήκυς.

§. 142. Πλάτυς σύμπαντος ἐν Γῇ τόπυ ἐςὶν ἡ μεταξὺ τῦ Ζενὶθ αὐτῦ, ϗ τῦ Ἰσημερινῦ απόςασις. ἐκ τύτυ ἄρα δῆλον, ὅτι τῶν μὲν ὑπὸ τὸν Ἰσημερινὸν τό-

πων τὸ πλάτος ὐδὲν· τῶν δὲ ὑπὸ τὺς Πόλυς, μοῖραι 90.

§. 143. Καταμετρεῖται τὸ Πλάτος τῷ τῦ Μεσημβρινῦ τόξῳ, τῷ ἀπολαμβανομένῳ ἀπό τε τῦ Ζενὶθ τῦ τόπυ ϗ τῦ Ἰσημερινῦ.

§. 144. Ἐςὶ δὲ τὸ Πλάτος παντὸς τόπυ ἴσον τῷ τῦ Πόλυ ὕψει, (§. 49.) εἴτυν τῷ ὕψει, ὅπερ ἐν τῷ αὐτῷ τόπῳ ἔχει ὁ Πόλος. τὸ γὰρ τῦ Μεσημβρινῦ τόξον, τὸ ἀπολαμβανόμενον ἀπό τε τῦ Ἰσημερινῦ, ϗ τῦ Πόλυ, ἴσον ἐςὶ κύκλυ τεταρτημορίῳ, ὁμοίως ϗ τὸ τῦ αὐτῦ Μεσημβρινῦ τόξον, τὸ μεταξὺ τῦ Ζενὶθ τινὸς τόπυ, ϗ τῦ Ὁρίζοντος. ἀφαιρεθέντος ἄρα τῦ κοινοῦ τόξυ τῦ μεταξὺ τῦ εἰρημένυ Ζενὶθ, ϗ τῦ Πόλυ, τὰ λοιπὰ ἴσα ἀλλήλοις ἔσονται, τυτέςι τὸ ὕψος τῦ Πόλυ τῷ πλάτει τῦ τόπυ.

§. 145. Βόρειον μὲν λέγεται τὸ πλάτος τῦ τόπυ τῦ μεταξὺ τῦ Ἰσημερινῦ, ϗ τῦ Ἀρκτικῦ Πόλυ κειμένυ· Νότιον δὲ, τὸ μεταξὺ τῦ Ἰσημερινῦ, ϗ τοῦ Ἀνταρκτικῦ Πόλυ.

§. 146. Μῆκος σύμπαντος ἐπὶ Γῆς τόπυ ἐςὶν ἡ μεταξὺ αὐτῦ ϗ τῦ πρώτυ Μεσημβρινῦ διάςασις. (ὅρα §. 130.)

§. 147. Καταμετρῦμεν δὲ τὸ Μῆκος τῷ τῦ Ἰσημερινῦ, ἢ τῶν παραλλήλων αὐτῷ κύκλων τόξῳ, ἀπὸ δύσεως ἐπ᾽ ἀνατολὴν προβαίνοντες.

§. 148 Δῆλον ἄρα, ὅτι τῶν μὲν ὑπὸ τὸν πρῶτον Μεσημβρινὸν τόπων τὸ Μῆκος ὐδὲν· τῶν δὲ μικρόν τι τῦ πρώτυ Μεσημβρινῦ δυτικωτέρων μοῖραι περίπυ 360.

§. 149. Ἐπεὶ ὖν τὰ μὲν πλάτη περαιτέρω τῶν 90 μοιρῶν ὐ προβαίνει, τὰ δὲ Μήκη μικρῦ δεῖν ἄχρι

τῶν 360· διὰ τῦτο τὰ μὲν πλάτη, τὰ δὲ Μήκη προσαγορεύεται.

## ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

## Περὶ Οἰκήσεων.

§. 150. Τῶν ἐπὶ Γῆς κατοικέντων, οἱ μὲν λέγονται Περίοικοι, οἱ δὲ Ἄντοικοι, οἱ δὲ Ἀντίποδες. (α)

§. 151. Περίοικοι μὲν οἱ ἐν τῇ αὐτῇ Ζώνῃ κύκλῳ περιοικῦντες· οἷον, οἱ Πολιςαὶ τῶν Μακάρων νήσων, ἢ τὰ τῶν Σίνων ἔθνη.

§. 152. Ἄντοικοι δὲ οἱ ἐπὶ τῆς αὐτῆς μὲν ὄντες Ζώνης, ἀλλ' οἱ μὲν τὸ Βόρειον αὐτῆς μέρος, οἱ δὲ τὸ Νότιον ἐνοικῦντες· οἷον, οἱ τῆς Ἑλλάδος οἰκιςαὶ, ἢ οἱ τῶν ἐσχάτων τῆς Ἀφρικῆς μερῶν· ὁμοίως οἱ τῆς εὐδαίμονος Ἀραβίας, ἢ οἱ τῆς ἐν τῇ Ἀφρικῇ νήσε Κύρνης, τῆς τὰ νῦν Μαδαγάσκαρ καλεμένης.

§. 153. Ἀντίποδες δὲ οἱ ὑπὸ τὸν αὐτὸν Μεσημβρινὸν ὄντες, ἢ τόπες κατὰ Διάμετρον ἀντικειμένες ἐνοικῦντες· οἷον, οἱ τῆς ἐν τῇ Ἀμερικῇ ἐπαρχίας Χίλι πολιςαὶ, ἢ οἱ περὶ τὸν ἐν τῇ Ἀσίᾳ Γάγγην ποταμὸν οἰκῦντες. (β)

---

(α) Ὅρα τὸ 19. σχ. Πιν. 3.

(β) Ἀντίποδας καλῦμεν τὰς ἐν τῷ ἀντικειμένῳ τὸ ὑπὸ γῆς ἔχοντας κλίμα. Πρῶτος ὁ Πυθαγόρας Ἀντίποδας εἶναι εἴρηκεν. „Εἶναι δὲ ἢ Ἀντίποδας, ἢ τὰ ἡμῖν κάτω, ἐκείνοις ἄνω. Διογ. Λαέρτ. βιβ. Η'. 26.

§. 154. Παντὶ μὲν τόπῳ τῶν ἐπὶ Γῆς τόπος κατὰ Διάμετρον ἀντίκειται, ὁ πάντες δὲ Ἀντίποδες ἔχουσιν· οἷον τῇ μὲν Γερμανίᾳ ἢ Δανίᾳ ἀντίκειται κατὰ Διάμετρον ὁ Ὠκεανός· οἱ δὲ Γερμανοὶ ἢ Δάνες ἀντίποδας ὀκ ἔχουσιν, εἰ μὴ τὰς τὸν Ὠκεανὸν πλέοντας Ἀντίποδας αὐτῶν νοήσῃς. (α)

## ΚΕΦΑΛΑΙΟΝ ΙΗ.

## Περὶ χρήσεως τῆ γηΐνης τεχνητῆς Σφαίρας.

§. 155. Τὸ Πλάτος ἢ Μῆκος τῦ δοθέντος τόπου προσευρεῖν, οὐ μὴν ἀλλὰ καὶ τὸ τοῦ Πόλου ὕψος. Περιστρέψας τὴν Σφαῖραν ἄχρις οὗ ὁ δοθεὶς τόπος ὑπὸ τὸν ἀκίνητον ἥξῃ Μεσημβρινόν, (ὅρα §. 131.) ὅρα ποία τῶν ἐν αὐτῷ γεγραμμένων μοιρῶν ἐφάπτεται τῦ δοθέντος τόπυ. αὕτη μὲν γὰρ ἐμφαίνει τὸ πλάτος αὐτῦ. ἢ ἢ ἄλλως· καταμέτρησον τὸ τόξον τῦ εἰρημένυ Μεσημβρινῦ τὸ μεταξὺ τῦ Ἰσημερινῦ, ἢ τῦ δοθέντος τόπυ. αὐτὸ γὰρ τὸ τόξον τὸ πλάτος αὐτῦ ἐςί. (§. 147.) τὸ αὐτὸ δὲ πλάτος καὶ τῷ τῦ Πόλυ ὕψει ἴσον ἐςί. (§. 148) Ἐὰν ὖν ἀπὸ τῦ αὐτῦ Μεσημβρινῦ ληφθῇ τόξον μεταξὺ τῦ Πόλυ, ἢ τῦ Ὁρίζοντος, ἴσον τῷ ῥηθέντι πλάτει, τῦτό ἐςι τὸ τῦ Πόλυ ὕψος. Τῶν αὐτῶν δὲ κειμένων, ὅρα τὴν τῦ Ἰσημερινῦ μοῖραν τὴν ὑπὸ τὸν

---

(α) Οἱ Ἰσπανοὶ ἔχουσιν Ἀντίποδας τὰς τὴν Ζεελανδίαν οἰκῦντας.

διαληφθέντα Μεσημβρινὸν κειμένην· αὕτη μὲν γὰρ ἐμφαίνει τὸ ἀπόστημα τὸ μεταξὺ τοῦ δοθέντος τόπου, καὶ τοῦ πρώτου Μεσημβρινοῦ τοῦ ἐπὶ τῆς τεχνητῆς Σφαίρας καταγεγραμμένου. διὸ δὴ τὸ Μῆκός ἐστι τοῦ δοθέντος τόπου. §. 131.

§. 156. Τὴν Σφαῖραν στῆσαι κατὰ τὴν θέσιν, ἣν πρὸς τὸν δοθέντα τόπον ἔχει ὁ κόσμος. Στήσας τὴν Σφαῖραν ἐπὶ ἐπιπέδου τῷ Ὁρίζοντι παραλλήλου, καὶ τὸν Πόλον ὑψώσας ὕψει ἴσῳ τῷ τοῦ τόπου πλάτει, εὔθυνον τοὺς τῆς Σφαίρας Πόλους πρὸς τοὺς τοῦ κόσμου, (τοῦτο ποιήσεις ὁδηγῷ χρησάμενος τῇ ἐν τῇ πυξίδι μαγνήτιδι, δεικνυούσῃ τὴν θέσιν τῶν τοῦ κόσμου Πόλων) καὶ περίστρεψον τὴν Σφαῖραν, ἕως οὗ ὁ ἐν αὐτῇ δοθεὶς τόπος ὑπὸ τὸν ἀκίνητον γένηται Μεσημβρινόν. τότε δὴ οἵα ἡ τῆς Σφαίρας θέσις, τοιαύτη καὶ ἡ τοῦ κόσμου ὡς πρὸς τὸν δοθέντα τόπον.

§. 157. Εὑρεῖν τὸν ἐν τῷ Ζωδιακῷ τόπον, ὃν ὁ Ἥλιος παροδεύει ἐν τῇ δοθείσῃ ἡμέρᾳ, οἷον τῇ 18 τοῦ Αὐγούστου. Ζητήσας ἐν τῷ τοῦ Ὁρίζοντος κύκλῳ τῷ τὰς ἡμέρας ἐμφαίνοντι (§. 132.) τὴν 18 τοῦ Αὐγούστου, ὅρα ποία τοῦ Ζωδιακοῦ μοῖρα ἐπ' εὐθείας αὐτῇ τῇ ἡμέρᾳ κεῖται. ἐπεὶ οὖν ἡ 25 τοῦ Λέοντος ἐστι, δῆλον ὅτι αὐτὴν κατὰ τὴν 18 τοῦ Αὐγούστου ὁ Ἥλιος παροδεύει.

§. 158. Προσευρεῖν τὴν ὥραν, καθ' ἣν ὁ Ἥλιος τῇ δοθείσῃ ἡμέρᾳ ἐν τῷ δοθέντι ἀνατέλλει τόπῳ· ὡσαύτως καὶ τὴν ὥραν, καθ' ἣν δύνει. Ἔστω ἡ μὲν δοθεῖσα ἡμέρα ἡ 15 τοῦ Μαΐου, ὁ δὲ δοθεὶς τόπος τὸ Παρίσιον. Στήσας τὴν Σφαῖραν, τὴν τὸν οὐρανὸν ἐμφαίνουσαν κατὰ τὴν θέσιν ἣν πρὸς τὸ Παρίσιον ἔχει ὁ κόσμος

(1) (§. 160.) ᾗ εὑρὼν τὴν μοῖραν τῦ Ζωδιακῦ, ἣν κατὰ τὴν 15 τῦ Μαΐυ παροδεύει ὁ Ἥλιος, (§. 161.) εἴτυν τὴν 24, τῦ Ταύρυ, αὐτὴν μὲν ὑπὸ τὸν ἀκίνητον τάξον Μεσημβρινὸν, τὸν δὲ Γνώμονα τῦ ὡριαίυ κύκλυ (ὅρ. §. 132.) ἐν τῇ 12 ὥρᾳ τῇ τὴν Μεσημβρίαν ἐμφαινύσῃ· εἶτα περίςρεψον ἐπὶ τὰ ἀνατολικὰ μέρη τὴν Σφαῖραν, ἄχρις ἂ ἡ εὑρεθεῖσα 24 τῦ Ταύρυ μοῖρα ἐφάψηται τῦ Ὁρίζοντος. ᾗ τότε δὴ ἡ ὥρα, ἣν ὁ Γνώμων ἐν τῷ ὡριαίῳ κύκλῳ δείκνυσιν, ἥτις ἐςὶν ἡ $4\frac{1}{2}$ μετὰ τὸ μεσονύκτιον, ἐμφαίνει τὴν ὥραν, καθ' ἣν ὁ Ἥλιος τῇ 15 Μαΐυ ἀνατέλλει ἐν Παρισίῳ. Τῶν αὐτῶν δὲ κειμένων, ἐὰν τὴν Σφαῖραν ἐπὶ τὰ δυτικὰ περιςρέψῃς μέρη, ἡ ὥρα ἡ ὑπὸ τῦ Γνώμονος δεικνυομένη, ἥτις ἐςὶν ἡ $7\frac{1}{2}$ μετὰ τὴν Μεσημβρίαν, ἐμφαίνει τὴν ὥραν, καθ' ἣν ὁ Ἥλιος τῇ αὐτῇ ἡμέρᾳ ἐν τῷ αὐτῷ τόπῳ δύνει.

(1) Τὸ ὕψος τῦ Πόλυ ἐν τῷ Παρισίῳ ἴσον μοιρ. 48, ᾗ λεπτ. 50.

Γνωςῆς δὲ ὔσης τῆς ὥρας, καθ' ἣν ὁ Ἥλιος ἀνατέλλει, ᾗ πάλιν ἡ καθ' ἣν δύνει, ᾗ τὸ τῆς ἡμέρας μῆκος γνωςὸν ἔςαι.

§. 159. Προσευρεῖν τὸ τῆς μεγίςης ἡμέρας μῆκος τινὸς δοθέντος τόπου. Ἔςω δὴ ὁ τόπος Βόρειος. Στήσας τὴν Σφαῖραν, τὴν τὸν οὐρανὸν ἐμφαίνουσαν κατὰ τὴν θέσιν, ἣν πρὸς τὸν δοθέντα τόπον ἔχει ὁ κόσμος, (§. 160.) τὴν μὲν πρώτην τοῦ Καρκίνου μοῖραν ὑπὸ τὸν ἀκίνητον Μεσημβρινὸν τάξον, τὸν δὲ Γνώμονα τῦ ὡριαίυ κύκλυ ἐπὶ τῆς 12 ὥρας τῆς τὴν Μεσημβρίαν ἐμφαινύσης. περιάγαγε δὲ ἐπὶ ἀνατολὰς τὴν Σφαῖραν, ἄχρις ἂ ἡ πρώτη τῦ Καρκίνυ μοῖρα τῦ Ὁρίζοντος ἐφα-

ψηται. τότε δὴ δείξει σοι ὁ Γνώμων, ποίᾳ ὥρᾳ ὁ Ἥλιος κατ' ἐκείνην τὴν ἡμέραν ἐν τῷ δοθέντι τόπῳ ἀνατέλλει· (§. 162.) τῶν αὐτῶν δὲ τελεσθέντων, ἢ τῆς Σφαίρας ἐπὶ δυσμὰς περιενεχθείσης, εὑρεθήσεται ἢ ἡ ὥρα, καθ' ἣν ὁ Ἥλιος δύνει, τούτων δὲ εὑρεθέντων, τὸ τῆς μεγίστης ἡμέρας τὸ δοθέντος τόπου μῆκος δῆλον. Ἐὰν δὲ ὁ δοθεὶς τόπος νότιος ᾖ, τὰ αὐτὰ ἀπαραλλάκτως ἐκτελείσθω. ἀντὶ δὲ τῆς πρώτης τοῦ Καρκίνου μοίρας, τὴν τοῦ Αἰγοκέρωτος πρώτην ὑπὸ τὸν ἀκίνητον Μεσημβρινὸν τάξον. Ἡ πρώτη δε τοῦ Καρκίνου μοῖρα λαμβάνεται ὑπὲρ τῶν βορείων τόπων, διὰ τὸ τὴν μεγίστην ἐν αὐτοῖς ἡμέραν γίνεσθαι, ἐπειδὰν ὁ Ἥλιος ἐπ' αὐτῆς γένηται. (ὅρ. §. 38, 51, 52.)· ἡ δὲ πρώτη τοῦ Αἰγοκέρωτος ὑπὲρ τῶν νοτίων, διὰ τὸν αὐτὸν λόγον.

§. 160. Τὴν διαφορὰν προσευρεῖν τῆς Μεσημβρινῆς ὥρας δύω ὁποιουοῦν δοθέντων τόπων. Κείσθω ὁ μὲν τῶν τόπων ὑπὸ τὸν ἀκίνητον Μεσημβρινὸν, ὁ δὲ Γνώμων ἐπὶ τῆς 12 τοῦ ὡριαίου κύκλου ὥρας. περιενεχθήτω δὲ ἡ Σφαῖρα ἄχρις οὗ ὁ ἕτερος τῶν τόπων ὑπὸ τὸν αὐτὸν Μεσημβρινὸν ἥξῃ. ἡ οὖν ὥρα ἡ ὑπὸ τοῦ Γνώμονος δεικνυομένη τότε, ἡ διαφορά ἐστι τῆς Μεσημβρινῆς ὥρας τῶν δύω δοθέντων τόπων. Τὸ αὐτὸ δὲ καὶ ἄλλως ἀκριβέστερον ἔνεστι προσευρεῖν· ἐὰν τὴν διαφορὰν τοῦ Μήκους τῶν δύω δοθέντων τόπων εἰς ὥρας μεταβάλῃς, μίαν ὥραν ἀντὶ τῶν 15 μοιρῶν ἐκλαμβάνων.

§. 161. Τῷ αὐτῷ δὲ τρόπῳ εὑρεθήσεται ἢ ἡ διαφορὰ τῶν ὡρῶν, καθ' ἃς εἰς δύω δοθέντας τόπους ὁ Ἥλιος ἀνατέλλει· οἷον, τὸ μὲν τοῦ Παρισίου μῆκος ἴσον

μοιρ. 20, τὸ δὲ τῆς Ἱερυσαλὴμ, 50, ἡ τύτων ἄρα διαφορὰ ἴση μοιρ. 30, αἵτινες συμποσῦσιν ὥρας 2· ἤκουν ἐν Ἱερυσαλὴμ δύω ὥρας ἀνατέλλει ὁ Ἥλιος, πρὶν ἢ κατὰ την αὐτὴν ἡμέραν ἐν Παρισίῳ ἀνατεῖλαι.

§. 162. Προσευρεῖν ἐν ποίῳ Κλίματι κεῖται ὁ δοθεὶς τόπος, ὁ μεταξὺ τῦ Ἰσημερινῦ ϗ τῶν διὰ τῶν Πόλων κύκλων κείμενος. Ἔςω ὁ δοθεὶς τόπος τὸ Παρίσιον. Ἐπεὶ ἡ μὲν ἐν τῷ Παρισίῳ μεγίςη ἡμέρα ἴση ὥραις 16 (εὑρεθήσεται διὰ τὰ ἐν τῷ §. 163 εἰρημένα) ἡ δὲ ἐν τοῖς ὑπὸ τὸν Ἰσημερινὸν τόποις ἴση ὥραις 12 (§. 56), ϗ ἡ τύτων διαφορὰ ὧραι 4, εἴτυν ἡμιώρια 8, τὸ ἄρα Παρίσιον ἐν τῷ τέλει τῦ ὀγδόυ τῶν ἡμιωριαίων Κλιμάτων κεῖται §. 140.

§. 163. Ἐπὶ τῦ δοθέντος Ὁριζοντίυ ἐπιπέδυ εὐθεῖαν Μεσημβρινὴν διαγράψαι· δεῖ δὴ δὲ τὸ ἐπίπεδον ϗ πρὸ, ϗ μετὰ, ϗ κατ' αὐτὴν τὴν ὥραν τῆς Μεσημβρίας ὑπὸ τῶν Ἡλιακῶν ἀκτίνων αὐγάζεσθαι. Πολλοὺς ἐπὶ τοῦ δοθέντος ἐπιπέδου ὁμοκέντρους καταγράψας κύκλυς, ἧλον ὕψος ἔχοντα περίπυ 3 δακτύλων ἐν τῷ κέντρῳ αὐτῶν πρὸς ὀρθὰς τῷ ἐπιπέδῳ πῆξον. Παρατηρήσας δὲ ἔν τινι τῶν περὶ τὴν θερινὴν τροπὴν ἡμέρᾳ, ἀπὸ τῆς 9 ὥρας πρὸ τῆς Μεσημβρίας ἄχρι τῆς 3 μετὰ τὴν Μεσημβρίαν, τὰ τῶν κύκλων σημεῖα, ὧν ἀλληλοδιαδόχως τὸ τῦ ἥλυ σκίασμα ἐφάπτεται, σημείωσον αὐτά. δύω δὲ τύτων δι' εὐθείας ἐπιζεύξας, διχοτόμησον αὐτήν, ϗ ἀπὸ τῦ τῶν κύκλων κέντρυ ἐπὶ τὸ διχοτόμημα ἐπίζευξον εὐθεῖαν. αὕτη δὴ ὖν ἔςαι ἡ ζητυμένη Μεσημβρινὴ εὐθεῖα, ἡ ἐπὶ τῦ Μεσημβρινοῦ κύκλυ κειμένη τῦ τόπυ, ἐν ᾧ τὸ ἐπίπεδον· ἧς ἐπειδὰν

ἡ τῦ Ἡλίυ ἀκτὶς ἐφάπτηται, ἡ ὥρα τῆς Μεσημβρίας ἐςὶν ἐν ἐκείνῳ τῷ τόπῳ. Ἐπεὶ δὲ τὸ τοῦ Ἡλίου σκίασμα οὐκ ἀκραιφνὲς διὰ τὸ περιεςὸς αὐτῷ πολὺ φῶς, βέλτιον ἂν εἴη πετάλῳ, ἀντὶ ἥλου, χρήσασθαι, τῷ Ὁριζοντίῳ ἐπιπέδῳ παραλλήλῳ, καὶ ὀπὴν ἔχοντι πρὸς ὀρθὰς τῷ κέντρῳ τῶν κύκλων κειμένην· ἀντὶ γὰρ τοῦ σκιάσματος, ἡ διὰ τῆς ὀπῆς διϊῦσα Ἡλιακὴ ἀκτὶς, ἐφαπτομένη τῶν κύκλων, καθαρῶς ἐμφαίνει τὰ σημειωθησόμενα σημεῖα. ἅπερ εἰσὶν αὐτὰ τὰ σημεῖα, καθ' ἃ ἡ ἀκτὶς τῆς τῶν κύκλων περιφερείας ἐφάπτηται. Τότε δὲ ἀκριβεςέρα ἔςαι ἡ γραφεῖσα Μεσημβρινὴ εὐθεῖα, ἐπειδὰν διέλθῃ διὰ πάντων τῶν διχοτομημάτων τῶν τόξων, των περατυμένων ὑπὸ τῶν εἰρημένων σημείων. Ἐπεὶ δὲ ἡ τῦ Ἡλίυ ἀκτὶς ἐν ταῖς περὶ τὴν θερινὴν τροπὴν ἡμέραις τῇ καθέτῳ ταῖς ἡμετέραις οἰκήσεσι μᾶλλον προσπελάζει, διὰ τῦτο εἰμὴ κατ' αὐτὰς γραφῇ τὰς ἡμέρας ἡ Μεσημβρινὴ εὐθεῖα, ὐκ ἂν εἴη ἀκριβής. (1)

(1) Εἴγε δὴ πλείονα ὁμοίων ζητημάτων εἰδέναι ἐπιποθεῖς, ὅρα τὴν εἰσαγωγὴν εἰς τὴν γνῶσιν κ̀ χρῆσιν τῆς Σφαίρας Ἰωάννυ τῦ Λόλοφη.

## ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

## Περὶ Γεωγραφικῶν Πινάκων, ἤτοι Χαρτῶν.

§. 164. Οἱ μὲν καθολικοὶ Χάρται τὴν Γῆν ἐμφαίνυσιν, ἤτοι ὑπὸ Μεσημβρινῦ τῦ διὰ τῶν κοινῶν διατομῶν τῦ Ἰσημερινῦ, κ̀ τῦ Ζωδιακῦ, ἢ ὑπ' αὐτῦ τοῦ

Ἰσημερινῦ εἰς δύω ἡμισφέρια διαιρεθεῖσαν, ἐπιπεδωθέντα κ̔ ἀλλήλων ἐφαπτόμενα.

§. 165. Κατὰ μὲν τὴν ὑπὸ τῦ εἰρημένυ Μεσημβρινῦ γενομένην διχοτομίαν ἑκάτερον μὲν τῶν ἐπιπεδωθέντων ἡμισφαιρίων περιφέρειαν ἔχει αὐτὴν τὴν τῦ διατεμόντος Μεσημβρινῦ περιφέρειαν, διχοτομεῖται δὲ ὑπὸ εὐθείας τὸν Ἰσημερινὸν ἐμφαινούσης· κ̔ ἐπὶ μὲν τὰ ἄνω τῆς περιφερείας μέρη ἑκατέρυ ὁ Ἀρκτικὸς Πόλος κεῖται, ἐπὶ δὲ τὰ κάτω ὁ Ἀνταρκτικός. Κατὰ δὲ τὴν ὑπὸ τῦ Μεσημβρινῦ διχοτομίαν, ἡ μὲν περιφέρεια ἑκατέρυ τῶν ἡμισφαιρίων ἡ αὐτὴ τῇ τῦ Ἰσημερινῦ· κέντρον δὲ τὸ μὲν τὸν Ἀρκτικὸν, τὸ δὲ τὸν Ἀνταρκτικὸν Πόλον ἔχει, διχοτομεῖται δὲ ἑκάτερον ὑπὸ τῦ προειρημένυ Μεσημβρινῦ, ὅστις ὡς εὐθεῖα γράφεται.

§. 166. Πᾶς δὲ ἕτερος Γεωγραφικὸς Χάρτης, ἀπόσπασμα τῆς Γῆς ἐμφαίνει, κατὰ τὸν πρῶτον τῶν διαληφθέντων τρόπων διχοτομηθείσης. διὸ τὰ μὲν ἄνω τῦ Χάρτυ μέρη τὰ Βόρεια εἰσι (ὅρ. §. 34.)· τὰ δὲ κάτω τὰ νότια· κ̔ αἱ μὲν εὐθεῖαι αἱ ἀπὸ τῶν ἄνω ἐπὶ τὰ κάτω ἀχθεῖσαι, τὰς Μεσημβρινὰς δηλῦσιν· αἱ δὲ καμπύλαι αἱ αὐτὰς διατέμνυσαι, τὰς τῷ Ἰσημερινῷ παραλλήλυς κύκλυς. δι' ἣν αἰτίαν ἐν μὲν ταῖς δυσὶν εὐθείαις, ταῖς ἐπ' ἄκρων τῶν δεξιῶν κ̔ ἀριςερῶν τῦ Χάρτυ μερῶν αἱ μοῖραι τῦ πλάτυς γράφονται, ἐν δὲ ταῖς δυσὶ, ταῖς ἐπ' ἄκρων τῶν ἄνω κ̔ κάτω, αἱ τῦ Μήκυς μοῖραι. κ̔ γὰρ τὰ μὲν Πλάτη διὰ τῶν Μεσημβρινῶν, (§. 124.) τὰ δὲ Μήκη διὰ τῦ Ἰσημερινῦ, ἢ τῶν αὐτῶν παραλλήλων (§. 127.) καταμετρεῖται κύκλων.

§. 167. Τὸ μεταξὺ δύω τόπων Ἀπόςημα καταμετρήσεις, τὸ μὲν τῶν τῦ Διαβήτυ σκελῶν ἐπὶ θατέ-

ρυ, τὸ δὲ ἐπὶ τῦ ἑτέρυ ςήσας τόπυ· εἶτα τὸν Διαβήτην, ὡς ἔχει, τῷ Ἰσημερινῷ ἐφαρμόσας, ἐὰν ἐπὶ τῆς τεχνητῆς Σφαίρας οἱ τόποι γεγραμμένοι ὦσιν, ἢ ἐπὶ τὰς ἐν τῷ χάρτῃ εὐθείας, τὰς καλυμένας Κλίμακας, ἐὰν οἱ τόποι ἐπὶ τῦ χάρτυ κέηνται. Τὸ μὲν ὖν ὑπὸ τῦ Διαβήτυ ἀπολαμβανόμενον τῦ Ἰσημερινῦ τόξον, μοίρας ἐμφαίνει, ἃς ἐὰν διὰ τῦ 15 πολλαπλασιάσῃς, τὸ γινόμενον δηλώσει σοι τὸ ζητύμενον ἀπόςημα διὰ Γερμανικῶν Μιλίων ἐμφαινόμενον· ὁμοίως ϗ τὸ τῶν Κλιμάτων μέρος, τὸ ὑπὸ τῦ Διαβήτυ ἀπολαμβανόμενον, Μίλια δηλοῖ.

§. 168. Ἐὰν δὲ οἱ τόποι, ὧν ἡ ἀπόςασις ζητεῖται, τοσῦτον ἀπ' ἀλλήλων ἀφεςήκασιν, ὥςε ὑπὸ τῶν τῦ Διαβήτυ σκελῶν μὴ ἀπολαμβάνεσθαι, διὰ νήματος μὲν τὴν ἀπόςασιν, διὰ τῦ Διαβήτυ δὲ τὰ τῦ νήματος μέρη καταμέτρητον.

## ΚΕΦΑΛΑΙΟΝ Ιϛʹ.

## Περὶ τῶν Παλαιῶν καὶ νέων Γεωγραφικῶν Μέτρων.

§. 169. Μέτρα Γεωγραφικὰ λέγονται τὰ δι' ὧν τὰ τῶν τόπων καταμετρῦνται ἀποςήματα. ἀλλ' οἱ μὲν Γεωγράφοι τὸ ἐπ' εὐθείας διὰ παντὸς καταμετρῦσιν ἀπόςημα· ἡ δὲ ἀπὸ θατέρυ εἰς ἕτερον τόπον ἀπάγυσα ὁδὸς, λίαν καμπυλοειδής ἐςιν ὡς τὰ πολλὰ, ἐνάντης τε ϗ κατάντης ϗ ἀνώμαλος· διὸ δὴ ϗ ἀσύμφωνος τοῖς ὑπὸ τῶν Γεωγράφων ὁρισθεῖσι μέτροις.

§. 170. Διάφορα δὲ τὰ τῶν ἀρχαιοτέρων ϗ τῶν

νεωτέρων Γεωγράφων μέτρα κατά τε τὴν ὀνομασίαν καὶ τὸ μέγεθος· ἔχεις δὲ τὰ ἑξῆς διὰ κοινὰ ἐμφαινόμενα μέτρα, τῷ Γεωμετρικῷ ποδός. (1)

(1) Ὁ μὲν Γεωμετρικὸς πῶς ἐκ 12 δακτύλων σύγκειται, ὁ δὲ δάκτυλος ἐκ 12 γραμμῶν· ἡ δὲ γραμμὴ ἐκ 12 ςιγμῶν.

## Τα μὲν ἐπισημότερα τῶν παλαιῶν εἰσὶ τάδε.

| | |
|---|---|
| Ἡ τῶν Αἰγυπτίων Σχοῖνος ἴση ποτὶ Γεωμετρικοὺς . . . . . . . . . . . . . | 5 000 |
| Τὸ τῶν Ἑλλήνων Στάδιον (α) . . . | 125 |
| Τὸ τῶν Ῥωμαίων Μίλιον . . . . . | 1,000 |
| Τὸ τῶν πάλαι Γάλλων lieue (λέγες) . . | 1,500 |

## Τὰ δὲ τῶν νεωτέρων τάδε.

| | |
|---|---|
| Τὰ τῶν Γερμανῶν Μίλια, | ὧν 15 μιᾷ μοίρᾳ ἴσα. |
| Τὰ τῶν Ἄγγλων | ὧν 69½. |
| Τὰ τῶν αὐτῶν τὰ θαλάσσια, | ὧν 20. |
| Τὰ τῶν Ἀράβων, | ὧν 56. |
| Τὰ τῶν Ὀλλανδῶν τὰ θαλάσσια, | ὧν 20. |
| Τὰ τῶν Οὔγκρων, | ὧν 13½. |
| Τὰ τῶν Ἰταλῶν, | ὧν 30 (2). |

(2) Τὰ παλαιὰ τῶν γὰρ νεωτέρων, 60 ἴσα εἰσὶ μιᾷ μοίρᾳ.

| | |
|---|---|
| Τὰ τῶν Σβέκων, | ὧν 10½. |
| Τὰ τῶν Σίνων lie (λέγες) | ὧν 250. |
| Τὰ τῶν Ἰσπανῶν lieue (λέγες) | ὧν 17½. |

---

(α) Ὀκτὼ ὀλυμπιακὰ Στάδια ἴσα ἐνὶ Ῥωμαϊκῷ Μιλίῳ, 600 λοιπὸν Στάδια ὅλυμ εἰς ἕνα βαθμὸν, ἢ 750 κοινά.

Τὰ τῶν Γάλλων lieue (λέγες) ὧν 25.
Τὰ τῶν αὐτῶν θαλάσσια, ὧν 20.
Αἱ τῶν Ὁλλανδῶν ὧραι, ὧν 19$\frac{2}{3}$.
Τὰ τῶν Ἰνδῶν Γὸς, ὧν 30.
Αἱ τῶν Περσῶν Παρασάγγες 22$\frac{1}{2}$.
Τὰ τῶν Ῥώσσων Βέρςια, ὧν 104$\frac{1}{2}$ μιᾷ μοίρᾳ ἴσα.
Τὰ τῶν Τέρκων Βεῤῥὶ ὧν 66$\frac{2}{3}$.
Περιέχει δὲ ἡ μοίρα πόδας Γεωμετρικὲς 60,000.

---

# ΒΙΒΛΙΟΥ ΔΕΥΤΕΡΟΥ

## ΚΕΦΑΛΑΙΟΝ Α΄.

### Περὶ φυσικῆς τῆς Γῆς διαιρέσεως.

§. 171.

Μέρος μὲν τῆς ἐπιφανείας τῆς Γῆς ὕδατι ἐπικαλύπτεται (α), μέρος δὲ ἀπαρακάλυπτον ἐςι. διὸ τὸ μὲν Ὕδωρ, τὸ δὲ Ξηρὰ, λέγεται· ἐςι δὲ τῦ Ὕδατος ἡ ἔκτασις πολλῷ μείζων, ἤπερ ἡ τῆς Ξηρᾶς, μὴ ἀναλογιζομένης τῆς ἄχρι τῦ νῦν ἀγνώςυ Γῆς. (β)

---

(α) „Μνήσομαι ὠκεανοῖο βαθυῤῥόου· ἐν γὰρ ἐκείνῳ
„Πᾶσα χθὼν ἅτε νῆσος ἀπείριτος ἐςεφάνωται.
Διονύσ. Περιηγητ.

(β) Η᾽ Ἔκτασις τῆς ἐπιφανείας τῆς γηΐνης Σφαίρας εἶναι περισσότερον ἀπὸ 9 Μιλλιόνι τετραγωνικὰ μίλια, ἐκ τῶν ὁποίων καλύπτει ἡ θάλασσα 6$\frac{1}{2}$ μέρη, ἡ δὲ Ξηρὰ μόνη 2$\frac{1}{2}$ μιλλιόνια τετραγ. μίλια

§. 172. Διαιρεῖται δὲ ἡ μὲν Ξηρὰ, εἰς Ἠπείρυς, Νήσυς, Ἰσθμὺς, Χερσοννήσυς, Ἀκρωτήρια, Ὄρη, Βυνὺς, Αἰγιαλὺς· τὸ δὲ Ὕδωρ, εἰς Θαλάσσας, Πορθμὺς, Κόλπυς, Λιμένας, Λίμνας, Ποταμὺς, Ῥύακας.

§. 173. Ἤπειρος μὲν ἐςι μέγα τῆς Ξηρᾶς μέρος ὑπὸ τῆς θαλάσσης μὴ διατεμνόμενον. δύω δὲ αἱ κατ' ἐξοχὴν Ἤπειροι, ὧν ἡ μὲν τὴν Εὐρώπην, ἡ Ἀσίαν, ἡ Ἀφρικὴν περιέχει, ἡ δὲ τὴν Ἀμερικήν.

§. 174. Νῆσος δὲ τὸ πανταχόθεν ὕδατι περιεζωσμένον τῆς Ξηρᾶς μέρος· οἷα ἡ μεγάλη Βρετανία, ἡ Σικελία, ἡ Ῥόδος.

§. 175. Ἰσθμὸς δὲ ἐςι μέρος τῆς Ξηρᾶς πρόμηκες ἡ ςενόν· ὃ τὰ μὲν δύω μέρη ὑπὸ τῆς θαλάσσης περατῦται, τὰ δὲ λοιπὰ δύω τῇ Ξηρᾷ συνέχεται. τοιῦτός ἐςιν ὁ καλύμενος Κορινθιακὸς Ἰσθμὸς, ὁ τὴν Πελοπόννησον τῇ Βοιωτίᾳ (*) συνδέων.

§. 176. Χερσόννησος δὲ μέρος τῆς Ξηρᾶς ὑπὸ τῆς θαλάσσης περιεχόμενον, ἡ ὑπὸ Ἰσθμῦ τῇ Ξηρᾷ συναπτόμενον. (α)

§. 177. Ἀκρωτήριον δὲ, τόπος ὑψηλὸς ἐπ' ἄκρας τῆς Ξηρᾶς, τῶν ἄλλων μερῶν αὐτῆς προκύπτων, ἡ ὑπὸ τῆς θαλάσσης περατύμενος. διὸ δὴ ἡ πόῤῥωθεν ὁρατός· οἷον τὸ ἐν τῇ Καφρίᾳ, τῇ ἐν τῇ Ἀφρικῇ, Ἀκρωτήριον τῆς καλῆς ἐλπίδος καλύμενον.

§. 178. Τὰ ἐπισημότερα τῆς θαλάσσης μέρη κατὰ τὺς νεωτέρυς Γεωγράφυς εἰσὶ τάδε· ὁ Δυτικὸς Ὠκεανὸς, ὁ ἐν τῷ δυτικῷ τῆς Ἀφρικῆς μέρει, ὁ ἡ

(*) Τῇ Ἀττικῇ.

(α) Οἷον ἡ Πελοπόννησος, ἡ ἡ Ταυρική.

Ἀτλαντικὴ θάλασσα καλούμενος· ὁ Μεσημβρινὸς Ὠκεανὸς, ὁ ἐπ' ἄκρας τῆς Ἀφρικῆς πρὸς Μεσημβρίαν, ὁ ἢ Αἰθιοπικὴ θάλασσα λεγόμενος· ἡ Ἰνδικὴ θάλασσα, ἡ ἐν τῷ Ἀνατολικῷ μὲν μέρει τῆς Ἀφρικῆς, ἐν τῷ Μεσημβρινῷ δὲ τῆς Ἀσίας· ἡ Πεπηγμένη θάλασσα, ἡ ἐν τῷ Ἀρκτικῷ Πόλῳ. Η᾽ Βόρειος θάλασσα, ἡ μεταξὺ Νορβεγίας, Δανίας, Γερμανίας, Κατωχωρῶν, Ἀγγλίας ἢ Σκωτίας. Η᾽ Μεσόγειος θάλασσα, ἡ μεταξὺ Εὐρώπης, ἢ Ἀσίας, ἢ Ἀφρικῆς. Ο᾽ Βόρειος Ὠκεανὸς, ἡ Βόρειος θάλασσα, ἡ μεταξὺ Ἀμερικῆς, Εὐρώπης, ἢ Ἀφρικῆς. Η᾽ μεγάλη θάλασσα, ἡ Σύνδιος, ἡ Σοὺδ καλουμένη, ἡ Γαληνή, ἡ μεταξὺ Ἀμερικῆς ἢ Ἀσίας.

§. 179. Πορθμός ἐςι ςενὸν τῆς θαλάσσης μόριον μεταξὺ δύω Ξηρῶν, οἷος ὁ Ἡράκλειος πορθμὸς, τὸ ἢ Γαδειριαῖον ςόμα, ἢ Γιβραλτὰρ καλούμενον, τὸ μεταξὺ Μαυριτανίας ἢ Ἰσπανίας.

§. 180. Κόλπος δὲ ἡ μεταξὺ δύω Ξηρῶν λίαν ἀπ' ἀλλήλων ἀπεχουσῶν θάλασσα, οἷον ὁ Περσικὸς, ὁ μεταξὺ Περσίας, ἢ Ἀραβίας.

## ΚΕΦΑΛΑΙΟΝ Β΄.

## Περὶ Πολιτικῆς τῆς Γῆς διαιρέσεως.

§. 181. Εἰς τέσσαρα καθολικὰ μέρη διαιρεῖται ἡ Γῆ εἰς τὴν Εὐρώπην, εἰς τὴν Ἀσίαν, εἰς τὴν Ἀφρικὴν, ἢ εἰς τὴν Ἀμερικὴν, τούτων τὰ μὲν τρία ἐπὶ θατέρου τῶν ἡμισφαιρίων κεῖται Παλαιὸς κόσ-

μὸς καλέμενα· τὸ δὲ τέταρτον, τὸ ἔσχατον, ἐπὶ τῷ ἑτέρου, Νέος κόσμος προσαγορευόμενος. (α)

§. 182. Εἰσὶ δὲ καὶ ἕτεροι ἐν τῇ Γῇ τόποι ἄχρι τοῦ νῦν ἄγνωστοι, οἱ περὶ τὸν Ἀρκτικὸν δηλαδὴ, καὶ Ἀνταρκτικὸν Πόλον, καὶ οἱ πρὸς τῷ Ἰσημερινῷ, ἔτι δὲ καὶ αἱ ἐν τῇ Συνδίῳ θαλάσσῃ νῆσοι.

§. 183. Τὰ μεγέθη τῆς Εὐρώπης, τῆς Ἀφρικῆς, τῆς Ἀσίας, καὶ τῆς Ἀμερικῆς λόγον ἔχουσι πρὸς ἄλληλα ὃν οἶδε οἱ ἀριθμοί· 1, 4, 5, 7.

§. 184. Ἠδύναντο μὲν ζῇν ἐν τοῖς γνωστοῖς τῆς Γῆς μέρεσιν ἀνθρώπων μιλλιόνια 3,000· οὐκ εἰσὶ δ᾽ οὖν ὅμως οἱ τούτων οἰκισταὶ, εἰμὴ μιλλιόνια 1,080· ἐν μὲν τῇ Εὐρώπῃ 130, ἐν δὲ τῇ Ἀσίᾳ 650, ἐν δὲ τῇ Ἀφρικῇ 150, ὁμοίως καὶ ἐν τῇ Ἀμερικῇ 150.

## ΚΕΦΑΛΑΙΟΝ Γ'.

## Περὶ τῆς Εὐρώπης καὶ τῶν ἐν αὐτῇ Διοικήσεων.

§. 185. Μικροτέρα μὲν τῶν λοιπῶν τῆς Γῆς τριῶν

---

(α) Τὰ εἴδη τῶν ἐγκατοίκων τῆς Γῆς, ἤτοι τῶν ἀνθρώπων πέντε εἰσί·

1. *Λευκοί.* Ὅλοι οἱ ἐγκάτοικοι τῆς Εὐρώπης, καὶ τῆς ἀρκτώας τῆς Ἀσίας δηλ. οἱ τὸ βόρειον αὐτῆς μέρος οἰκοῦντες.
2 *Μελάγχροοι*, εἰσὶν οἱ ἐγκάτοικοι τῆς βορείου Ἀφρικῆς, καὶ τῆς Μεσημβρινῆς Ἀσίας, ἐξαιρουμένων τῶν Ἰνδῶν.
3. *Ξανθόχροοι*, σχεδὸν ὅλοι οἱ Ἰνδοὶ πρὸς τὸ Μεσημβρινὸν τῆς Ἀσίας.
4 *Ἐλαιόχροοι*, οἱ περισσότεροι τῆς Ἀμερικῆς ἐγκάτοικοι.
5. *Μέλανες*, γενικῶς ὅλοι οἱ τῆς Ἀφρικῆς ἐγκάτοικοι, μερικοὶ τῆς Μεσημβρινῆς Ἀσίας, καὶ τῶν νήσων τῆς Αὐστραλίας.

μερῶν ἡ Εὐρώπη (§. 187.), κοσμιωτέρα δὲ, διὰ τὰς ἐν αὐτῇ τέχνας, ϗ ἐπιςήμας, ϗ τακτικὰς Δυνάμεις, καὶ τὴν ἐμπορίαν, ϗ εὐνομίαν.

§. 186. Αἱ ὑπὸ μίαν ϗ τὴν αὐτὴν Δεσποτείαν, ἐπαρχίαι, ϗ πόλεις, ϗ κῶμαι, ϗ χῶραι, ἐπικράτεια καλείσθω.

§. 187. Τὰ ἐν τῇ Εὐρώπῃ εἴδη τῶν Διοικήσεων πέντε· Δεσποτικὸν, Μοναρχικὸν, Ἀριςοκρατικὸν, Δημοκρατικὸν, ϗ Σύμμικτον.

§. 188. Δεσποτικὴ μὲν ἡ Διοίκησις λέγεται, ἐπειδὰν ὁ τῆς ἐπικρατείας Ἄρχων νόμον ἔχῃ τὴν ἰδίαν θέλησιν, τοιαύτη ἡ τῶν Ὀθομανῶν.

§. 189. Μοναρχικὴ δὲ, ὅτε εἷς μὲν ἐςιν ὁ Ἄρχων, νόμοις μέν τοιγε ὑπείκει, οὓς αὐτὸς ϗ ποιεῖν ϗ μεταβάλλειν δύναται· τοιαύτη ἡ τῆς Γαλλίας, καὶ Ἰσπανίας, ϗ ἄλλων Βασιλειῶν.

§. 190. Ἀριςοκρατικὴ δὲ, ὅτε τὸ δεσπόζειν παρὰ τοῖς Εὐπατρίδαις κεῖται· τοιαύτη ἡ τῶν Ἐνετιῶν.

§. 191. Δημοκρατικὴ δὲ, ὅπε τὸ μὲν νομοθετεῖν ἐπὶ τῇ τε δήμε κεῖται ἐξεσίᾳ, τὸ δὲ τὰ νομοθετηθέντα ἐνεργηθῆναι ἐπὶ τῇ τῶν Δικαςηρίων· τοιαύτη ἡ ἐν Γενέυᾳ.

§. 192. Σύμμικτος δὲ ἡ ἐκ δύω, ἢ τριῶν τῶν εἰρημένων διοικήσεων συγκειμένη· οἷον, ἐν μὲν τῇ Ὀλλανδίᾳ ἐκ τῆς Ἀριςοκρατικῆς ϗ Δημοκρατικῆς· ἐν δὲ τῇ Ἀγγλίᾳ ἐκ τῆς Μοναρχικῆς ϗ Ἀριςοκρατικῆς, ϗ Δημοκρατικῆς. τοιαύτη δὲ ϗ ἡ τῆς Σβεκίας ἕσα πρὸ δύω ἐτῶν εἰς τὴν μοναρχικὴν μεταβέβληται Διοίκησιν.

§. 262. Πολλαὶ αἱ ἐν τῇ Γερμανίᾳ θρησκεῖαι, καθάπερ δὴ ϗ αἱ διοικήσεις. ἀνεκτὴ γὰρ ἐν αὐτῇ πᾶσα φατρία ϗ κόμμα, ϗ αἵρεσις. ϗ ὁ μὲν Αὐτοκράτωρ τὰ τῆς Ῥωμαϊκῆς ἐκκλησίας θρησκεύει δόγματα, οἱ δὲ τῆς ἀνωτέρας ϗ κατωτέρας Γερμανίας, ϗ οἱ τῆς Βεςφαλίας, ϗ Φραγκονίας ϗ Συαβίας, ϗ τῦ ἀνωτέρυ Ῥήνυ, ϗ οἱ

πλείονες τῶν ἐλευθέρων ϗ Αὐτοκρατορικῶν Πόλεων Δεσπόται τὰ τοῦ Λουθήρου, ϗ Καλβίνου. οἱ δὲ τοῦ τῆς Ἔσσης Λανδγραβιάτου πολιοῦχοι μικροῦ δεῖν ἅπαντες τὰ τοῦ Καλβίνου.

§. 263. Ὑψηλόφρονές εἰσιν οἱ Γερμανοὶ, εἰλικρινεῖς ϗ γενναῖοι· ἔτι δὲ ϗ φιλόπονοι, φιλόμουσοι, φιλότεχνοι, ϗ στρατιῶται Ἄριστοι. μαρτύριον δὲ τούτου αἱ ἐν αὐτοῖς ἀκμάζουσαι παντοῖαι ἐπιστῆμαι, ϗ τέχναι, ϗ τὰ στρατόπεδα· οἱ δὲ εὐγενεῖς αὐτῶν ἐπὶ τῷ ἀμωμήτῳ τῆς εὐγενείας αὐτῶν καυχώμενοι, ϗ εὐγενεστέρους ἁπάντων τῶν εὐρωπαίων ἑαυτοὺς νομίζοντες, καθ' ὑπερβολὴν ἐοίκασι ματαιόφρονες.

§. 264. Ἀριθμοῦσιν ἐν πάσῃ τῇ Γερμανίᾳ, ἐκτὸς τῆς Ἐλουητίας, ϗ τῆς Προυσίας, οἰκήτορας 18,002,475. ἐκτὸς δὲ τῶν τοῦ Βασιλέως τῆς Προυσίας, ϗ τοῦ Αὐστριακοῦ οἴκου στρατευμάτων, ἔχουσιν οἱ τῆς Γερμανίας Πρίγκιπες τακτικὰς ἑτοίμους στρατιὰς 130,000. (α)

§. 265. Πάλαι μὲν εἰς δύω μόνον ἐμερίζετο ἡ Γερμανία μέρη· εἰς Γερμανίαν ἀνωτέραν, ἐν ᾗ ϗ ἡ Ἐλουητία, ϗ ἕτεραι ἐπαρχίαι, αἱ τὴν σήμερον αὐτόνομοι, ϗ εἰς κατωτέραν· (β) τὰ νῦν δὲ, εἰς μέρη 10, κύκλους καλούμενα· οἱ δὲ κύκλοι εἰσὶν οὗτοι. (γ)

1. Ο' τῆς Αὐστρίας.

---

(α) Τὸ πλέον κατοικημένον μέρος τῆς Εὐρώπης εἶναι ἡ Γερμανία, ἡ Ἐναρίθμησις τοῦ 1789 ἦτον 27 μιλλιούν. Ἐγκάτοικοι, τὰ νῦν ὅμως μένουσιν 25 μιλλιούν. Ἐξαιρουμένων τῶν δύο πέραν τοῦ Ῥήνου.

(β) Εἰς Γερμανίαν ϗ Ἀλεμανίαν.

(γ) Ὅρα τὴν Σημείωσιν εἰς τὸ τέλος τοῦ Παρόντος Κεφαλαίου.

2. Ο' τῆς Βαυαρίας.
3. Ο' τῆς Σουαβίας.
4. Ο' τῆς Φραγκονίας.
5. Ο' τοῦ κατωτέρου Ῥήνου.
6. Ο' τοῦ ἀνωτέρου Ῥήνου.
7. Ο' τῆς ἀνωτέρας Σαξωνίας.
8. Ο' τῆς κατωτέρας Σαξωνίας.
9. Ο' τῆς Βεσφαλίας.
10. Καὶ ἡ τῆς Βοεμίας Βασιλεία.

§. 266. Ὑποδιαιρεῖται δὲ ἕκαστος τῶν εἰρημένων κύκλων εἰς Ἡγεμονείας, Τίτλους διαφόρους ἐχούσας· οἷον ὁ μὲν πρῶτος, ὁ τῆς Αὐστρίας, (ἥτις ἐστὶν ἡ ὑπὸ τῶν ἀρχαίων ἀνωτέρα Παννονία καλουμένη) εἰς 5.

1. Εἰς τὸ Ἀρχιδουκάτον τῆς Αὐστρίας, τὸ μεῖζον πάντων τῶν ἄλλων.
2. Δουκάτον τῆς Στιρίας, μέρος τοῦ Νορικοῦ οὔσης, καὶ τῆς ἀνωτέρας Παννονίας.
3. Δουκάτον τῆς Καρινθίας.
4. Δουκάτον τῆς Καρνιόλης, τῆς τῇ Ἰταλίᾳ γειτνιαζούσης, καὶ
5. Κομητάτον τῆς Τιρόλεως, ἢ Τιρόλ. (α)

Ο' δὲ δεύτερος κύκλος ὁ τῆς Βαυαρίας, εἰς 3.

1. Εἰς τὸ Δουκάτον τῆς Βαυαρίας.
2. Ἀνώτερον Παλατινάτον, ὅπερ μέρος ἐστὶ, τοῦ ὁμωνύμου αὐτῷ Ἐλεκτοράτου. (1)

(1) Ἐλεκτοράτον ἢ τοῦ Ἐλέκτορος, εἴτουν Αἱρέτου Ἐπαρχία.

---

(α) Τῷ 1797 εἰς τὴν εἰρήνην τοῦ Κάμπο-Φόρμιο μεταξὺ τοῦ Καίσαρος, καὶ τῆς Γαλλίας, προσετέθησαν ἡ Ἐπαρχία τῆς Βενετίας· καὶ ἡ τῆς Δαλματίας.

3 Εἰς τὴν Ἀρχιεπισκοπὴν τῦ Σαλτσβέργυ.
Ὁ δὲ τρίτος, ὁ τῆς Συαβίας, περιέχει μόνον.
1. Τὸ Δυκάτον τῦ Βιρτεμβέργυ.
Ὁ δὲ τέταρτος ὁ τῆς Φραγκονίας διαιρεῖται, εἰς 2.
1. Εἰς τὴν Ἐπισκοπὴν τῆς Βαμβέργης.
2. Καὶ τῆς Βυρτζβέργυ, εἴτην Ἑρβιπόλεως.
Ὁ δὲ πέμπτος ὁ τῦ κατωτέρυ Ῥήνυ, εἰς 4.
1. Εἰς τὸ Παλατινᾶτον τὸ κατώτερον, ὅπερ ἐςὶ τὸ ἕτερον μέρος τῦ ὁμωνύμυ αὐτῷ Ἐλεκτοράτυ.
2. Ἐλεκτοράτον τῆς Μαϋέντζης.
3. Τῆς Τρεύης, ϗ
4. Τῆς Κολονίας, τῶν ϗ Ἀρχιεπισκοπῶν.
Ὁ δὲ ἕκτος ὁ τῦ ἀνωτέρυ Ῥήνυ, εἰς 2.
1. Εἰς τὸ Λανδγραυϊᾶτον τῆς Ἀλσακίας, τὸ ὑπὸ τὸν Βασιλέα τῆς Γαλλίας.
2. Καὶ τῆς Ἔσσης.
Ὁ δὲ ἕβδομος ὁ τῆς ἀνωτέρας Σαξωνίας, εἰς 6.
1. Εἰς τὸ Ἐλεκτοράτον τῆς Σαξωνίας.
2. Μαρκιωνᾶτον τῆς Μισνίας.
3. — τῆς Λυσατίας.
4. Λανδγραυϊᾶτον τῆς Θυριγγίας.
5. Ἐλεκτοράτον τῦ Βρανδεβύργυ, ϗ
6. Εἰς τὴν Πομερανίαν.
Ὁ δὲ ὄγδοος, ὁ τῆς κατωτέρας Σαξωνίας, εἰς 4.
1. Εἰς τὸ Ἐλεκτοράτον τῆς Ἀννουέρας, ἢ Ἀννόβερ.
2. — Δυκάτον τῦ Βρυνσβίκ.
3. — — τῦ Ὀλςεΐν, ϗ
4. — — τῦ Μεχλενβύργυ.
Ὁ δὲ ἔννατος, ὁ τῆς Βεςφαλίας, εἰς 3.
1. Εἰς τὸ Πριγκιπᾶτον τῆς Ὀοςφρισίας, Oost-frise,

2. Τὴν Ἐπισκοπὴν τῦ Μοναςηρίυ, Münster, ϗ
3. — τῦ Λεοδίυ, de Liege.

Ὁ δὲ δέκατος κύκλος, εἴτυν ἡ Βοεμία (ἧς ὁ Βασιλεὺς πρότερον μὲν κατ' ἐκλογὴν ἐψηφίζετο, νῦν δὲ κατὰ διαδοχὴν πρόεισιν ἐπὶ τὺς ἐκ τῦ Ἀυςριακῦ ὁρμωμένυς οἴκυ) εἰς 3.

1. Εἰς τὴν κυρίως Βοεμίαν.
2. Εἰς τὸ Δυκάτον τῆς Σιλεσίας, ἧς τὸ μεῖζον μέρος τῷ Βασιλεῖ τῆς Πρυσίας ὑπόκειται, ϗ
3. Εἰς τὸ Μαρκιωνάτον τῆς Μωραυΐας. (α)

§. 267. Τῆς μὲν τῶν Γερμανῶν Αὐτοκρατορίας πρωτεύυσα, ἡ Οὐϊέννα, ἢ Βιένα, ἡ ϗ Οὐϊνδοβῶνα, ἢ Βινδοβῶνα, πόλις μεγαλοπρεπής, ἐν ᾗ ὁ τῦ Αὐτοκράτορος θρόνος· τῶν δὲ λοιπῶν πόλεων πρῶται, ἐν αἷς ϗ αἱ τῶν Αἱρετῶν καθέδραι, αἱ ἐφεξῆς 9.

1. Τὸ Μονάχιον, ἢ Μύνιχ, ἐν ᾧ ἡ τῦ Αἱρέτυ τῆς Βαυαρίας καθέδρα.
2. Τὸ Μανέϊμ, συνήθης καθέδρα τῦ Αἱρέτυ τῦ Παλατίνυ.
3. Ἡ Τρεύη, πρωτεύυσα τῦ ὁμωνύμυ αὐτῇ Ἐλεκτοράτυ.
4. Ἡ Μαϋέντζα, καθέδρα τῦ Αἱρέτυ τῆς Μαϋέντζης.

---

(α) *Ἡ Βοεμία, ἧς Βασιλεὺς ὁ Αὐτοκράτωρ τῆς Γερμανίας ϗ Ἀρχιδὲξ τῆς Ἀυςρίας, διαιρεῖται εἰς δώδεκα κύκλυς.*

| | | |
|---|---|---|
| 1. *Λέϊμεριτζ.* | 5. *Κζασλάβ.* | 9 *Πραχίν.* |
| 2. *Καϊνιγινγράτζ.* | 6. *Κάϋρτζιμ.* | 10. *Πίλσεν.* |
| 3. *Βολεσλόβ.* | 7. *Βεράυν.* | 11. *Ῥάκοβνιτζ.* |
| 4. *Χρυδίμ.* | 8. *Βίχλιν.* | 12. *Σαάτζ.* |

*Ἔχει ϗ Ἐγκατοίκυς ἡ Βοεμία* 2,928,500.

5. Ἡ Βόννα, ἢ Βὸν, ἐν ᾗ ἡ Ἡγεμονικὴ τοῦ Αἱρέτου τῆς Κολονίας αὐλή.

6. Τὸ Βέρλινον, ἢ Βερλὶν, ἐν ᾧ ὁ τοῦ Βρανδεβούργου Αἱρέτης, εἴτουν ὁ βασιλεὺς τῆς Πρωσίας διατρίβει.

7. Ἡ Δρέσδα, πόλις ὡραία, καὶ θαυμαστὴν ἔχουσα γέφυραν ἐπὶ τοῦ Ἄλπεως ποταμοῦ, ἐν ᾗ ἡ καθέδρα τοῦ τῆς Σαξωνίας Αἱρέτου.

8. Τὸ Ἀννόβερ, καθέδρα τοῦ Αἱρέτου τοῦ Ἀννόβερ. ὅστις νῦν Βασιλεὺς τῆς μεγάλης Βρετανίας ἐστὶ, τὸν θρόνον αὐτοῦ ἐν τῷ Λονδίνῳ ἔχων.

9. Ἡ Πράγα, ἐν ᾗ ἡ διατεταγμένη τοῦ Βασιλέως τῆς Βοεμίας καθέδρα· ἡ δὲ νῦν Βασιλὶς Ἀρχιδούκαινα οὖσα τῆς Αὐστρίας, ἐν Βιέννῃ τὸν Βασιλικὸν ἔχει θρόνον.

§. 268. Αἱ Πρώτισται παραθαλάσσιοι καὶ ἐμπορικαὶ τῆς Γερμανίας πόλεις εἰσὶν 9.

1. Τὸ Στέτινον, ἢ Στέτιν, ἐμπόριον περίφημον, καὶ
2. Ἡ Σοῦνδα, ἢ Στραλσοῦνδ, ἐν τῇ Πομερανίᾳ.
3. Τὸ Ῥοστόχιον, ἢ Ῥοστόχ.
4. Ἡ Βισμαρία, ἢ Βίσμαρ.
5. Ἡ Λουβέκα, ἢ Λουβέκ.
6. Τὸ Ἄμβουργον, ἢ Ἄμβουργ, καὶ
7. Ἡ Βρέμα, ἡ τὸ πάλαι Φαβίρβανον καλουμένη ἐν τῇ κατωτέρᾳ Σαξωνίᾳ.
8. Ἡ Ἔμβδα, ἢ Ἔμβδεν, ἐν τῇ Ὀστφρισίᾳ, καὶ
9. Ἡ Τεργέστη, ἢ Τέργεστον, ἢ Τριέστε, ἐν τῇ Ἀδριατικῇ θαλάσσῃ, οὐ πρὸ πάνυ πολλοῦ περιφανὲς γεγονὸς, διὰ τὰς ἐν αὐτῷ οἰκοδομὰς, καὶ τὰ τῆς ἐμπορίας προνόμια· ἐν ᾧ καὶ Ἐκκλησίαι ὀρθοδόξων, 2 ἡ μὲν τῶν Γραικῶν, ἡ δὲ τῶν Σλαβόνων,

§. 269. Αἱ δὲ ἐπὶ τὰ ἐνδότερα τῆς Γερμανίας μέρη· πρῶται ἐμποριαὶ πόλεις εἰσὶν 11.

1. Τὸ Βρυνσβίκ, τὸ ᾗ Βρυνόπολις, ᾗ Βρύνωνος κώμη, ᾗ Βρυνσυΐνα, ᾗ Πεντάπολις καλύμενον.
2. Τὸ Μαγδίβυργον, ἡ τὸ πάλαι Παρθενόπολις, ᾗ Παρθενόπη, ἐν τῇ κατωτέρᾳ Σαξωνίᾳ.
3. Ἡ Κολωνία ἡ ἐπὶ τῦ Ῥήνυ.
4. Τὸ Φραγκόφυρτον, τὸ ἐπὶ τῦ Μοίνυ ποταμῦ.
5. Τὸ Στράσβυργον ἐν τῇ Ἀλσακίᾳ.
6. Ἡ Νωριβέργα, ἢ Νυρεμβύργ ἐν τῇ Φραγκονίᾳ.
7. Τὸ Ἀυγσβύργον, τὸ ᾗ Αὐγυςα τῶν Οὐϊνδελικῶν, ᾗ Κολωνία τῶν Ῥαίτων, ᾗ Δαμασία καλύμενον, ᾗ ἐν τῇ Συηβίᾳ κείμενον.
8. Τὸ Λίντζ, τὸ ᾗ Λεντία, ᾗ Λίγγιον, ᾗ Αὐρηλιανὸν προσαγορευόμενον, ἐν τῇ Ἀυςρίᾳ.
9. Ἡ Λείψια, ἡ ᾗ Λείψιγ, ἡ διὰ τὰς Μύσας, ᾗ τὴν ἐμπορίαν περίφημος, ἡ ἐν τῇ ἀνωτέρᾳ Σαξωνίᾳ.
10. Τὸ Φραγκόφορτον, ἢ Φραγκφόρτ, τὸ ἐπὶ τῦ Ὄδερα ποταμῦ· ᾗ
11. Ἡ Οὐρατισλάβια, ἢ Βρέσλαυ, ἡ ἐν τῇ Σιλεσίᾳ.

§. 270. Εἰσὶ δὲ ᾗ ἕτεραι ἐν τῇ Γερμανίᾳ περίφημοι πόλεις, οἷον ἐν μὲν τῇ Βεςφαλίᾳ.

Ἡ Κασλία, Hesse-Cassel.
Τὸ Μοναςήριον, Μύνςερ.
Τὸ Λεόδιον, Liege, ᾗ
Ἡ Ἄϊξ Σαπέλλα, Aix-la-Chapelle, τὸ ᾗ Ἀκυΐσγρανον.

Ἐν δὲ τῷ Παλατινάτῳ.

Ἡ Ἐιδελβέργα, Heidelberg.

Ἐν δὲ τῇ Σουαβίᾳ.

Ἡ Οὖλμα, Ulm.

Ἐν δὲ τῇ Βαυαρίᾳ.

Τὸ Σάλτζβουργον, Saltzburg.

Τὸ Πασσάυϊον, Passau, τὸ ϗ Παταυΐα, ϗ

Ἡ Ῥατισβῶννα, ἡ ϗ Αὐγοῦστα Τιβερίου, ϗ Ῥετόπολις, ϗ Ῥηγηνόπολις λεγομένη.

Ἐν δὲ τῇ Αὐστρίᾳ.

Τὸ Γρατζ, Gratz, τὸ ϗ Γραίκιον, ϗ Γρακία.

Ἐν δὲ τῇ Φραγκονίᾳ.

Ἡ Βαμβέργα, Bamberg, ἡ νομιζομένη τὸ παλαιὸν Βέργιον· ϗ

Ἡ Ἐρβίπολις, Würzbourg.

Ἐν δὲ τῇ Θουριγγίᾳ.

Ἡ Ἐρφορδία, Erfort.

§. 271. Οἱ ἐν τῇ Γερμανίᾳ μεγάλοι ποταμοὶ 7.

1. Ὁ Δουνάβιος, ὁ ϗ Ἴστρος, ὁ μέγιστος τῶν τῆς Εὐρώπης ποταμῶν, ὁ ἀπὸ τοῦ Ἄβνοβα ὄρους τῆς Γερμανίας πηγάζειν ἀρχόμενος, ϗ δι' ἓξ στομάτων εἰς τὸν Εὔξεινον εἰσρέων πόντον. (1)

(1) Ἰχθύδιον, ὥς φασιν, ἀγρευθὲν ἐν μιᾷ τῶν αὐτοῦ Εὐξείνῳ πόντῳ ἐκβολῶν αὐτοῦ, ὅπερ ἐν ὑαλίνῃ φιάλῃ ὕδατος γλυκεροῦ πλήρει, ϗ ὀλίγην ἐν τῷ βάθει περιεχούσῃ ἄμμον, τεθὲν, διὰ τῆς αὐτοῦ ἠρεμίας ϗ τύρβης τὰς διαφόρους τοῦ καιροῦ μεταβολὰς, πολλῷ βέλτιον παντὸς προκαταγγέλει θερμομέτρου· ὅρα τὸ Γεωγραφ. λεξ. τὸ ὑπὸ τοῦ ουόσγιεν ἐκδοθὲν εἰς τὴν λεξ. Δανούβ.

2. Ὁ Ὄδερα, l'Oder, ὁ ϗ Οὐΐαδρος, ϗ Γύτταλος,

ὁ ἐκ τῦ πέρατος τῆς Μοραυΐας πηγάζων, ἐ͂ εἰς τὴν βαλτικὴν εἰσιὼν θάλασσαν.

3. Ὁ Ἄλβις, l'Elbe, ὁ ἐκ τῶν ὀρέων Γεάνς (ὅρ. §. 178) ἐκβλύζων, ἐ͂ εἰς τὴν Ἀρκτώαν ῥέων θάλασσαν.

4. Ὁ Βέσερ, le Weser, ὁ ἐ͂ Οὐΐσυργις, ὁ ἐν τῇ κατωτέρᾳ Σαξωνίᾳ.

5. Ὁ Ῥῆνος, le Rhin, τὸ πάλαι τῆς Γερμανίας, ἐ͂ Γαλλίας ὅριον, ὁ ἐκ τῶν Ἀλπέων ἀναπηγάζων, ἐ͂ εἰς τὸν Ὠκεανὸν εἰσβάλλων.

6. Ὁ Μοῖνος, le Mein, ὁ τὸ Φραγκόφορτον ποτίζων· ἐ͂

7. Ὁ Μωσέλλας, la Moselle, ὁ ποτὲ Ὀβριγκὸς καλούμενος, ὁ ἐκ τῦ ἐν Λοῤῥαίνῃ Οὐογησῦ ὄρυς τὰς ἀρχὰς ἔχων, ἐ͂ τῷ Ῥήνῳ συνενάμενος.

§. 272. Ὄρη δὲ ἐν Γερμανίᾳ τὰ ἐπιφανέςερα εἰσὶ τάδε.

1. Τὰ Ἄλπη, τὰ ἀπὸ τῆς Ἰταλίας αὐτὴν ἀφορίζοντα.

2. Τὰ Γέανς, Geans, τὰ μεταξὺ Βοεμίας, ἐ͂ Σιλεσίας.

3. Τὰ Ἄρτζ, Hartz, τὰ μεταξὺ τῆς ἀνωτέρας, ἐ͂ κατωτέρας Σαξωνίας, ἐ͂

4. Τὰ Βαῦγε, Vauge, τὰ μεταξὺ Ἀλσακίας, ἐ͂ Γαλλίας.

§. 273. Νῆσος μὲν τῆς Γερμανίας μία μόνη ἡ Ῥυγία, Rugen, ἡ ἐν τῇ Βαλτικῇ θαλάσσῃ πρὸς τὰ τῆς Πομερανίας μέρη. Λίμναι δὲ ἐπίσημοι, δύω.

1. Ἡ τῆς Κωνςαντίας, ἡ ἐν τῇ Συαβίᾳ, ἐ͂

2. Ἡ τῆς Κτζιρνίτζ, Czirnitz, ἡ ἐν τῷ Δυκάτῳ τῆς Καρνιόλης.

§. 274. Περατοῖ τῆς Γερμανίας τὸ μὲν Ἀνατολικὸν μέρος, ἡ Πολονία ϗ ἡ Οὐγγαρία· τὸ δὲ Μεσημβρινὸν, ὁ Ἀδριατικὸς κόλπος, ἡ Ἰταλία, ϗ ἡ Ἑλνητία· τὸ δὲ Δυτικὸν, ἡ Γαλλία, ϗ τὸ Βέλγιον· τὸ δὲ Βόρειον, ἡ Ἀρκτῷα θάλασσα, ἡ Δανία, ϗ ἡ θάλασσα ἡ Βαλτική.

§. 275. Τῶν δὲ ἐπ᾽ Εὐθείας ἐκτάσεων αὐτῆς ἡ μεγίςη, ἡ ἀπὸ Ἀνατολῆς πρὸς Δύσιν ἴση μιλίοις 135· ἡ δὲ ἀπὸ Μεσημβρίας πρὸς Βοῤῥᾶν 143.

§. 276. Τὸ μὲν Μῆκος τῆς Γερμανίας ἀπὸ τῆς 23 μοίρας ἀρχόμενον εἰς τὴν 37. λήγει· τὸ δὲ πλά[illegible] ἀπὸ τῆς 44½ εἰς τὴν 55.

## Σημείωσις

## ΝΕΩΤΕΡΙΚΗ ΔΙΑΙΡΕΣΙΣ ΤΗΣ ΓΕΡΜΑΝΙΑΣ.

### ΚΥΚΛΟΙ.

| Πρὸς τὸ Ἀρκτῷον. | Τὸ μέσον. | Πρὸς τὸ Νότειον. |
|---|---|---|
| Βεςφαλία. | Κάτω τῦ Ῥήνυ. | Συαυία. |
| Κάτω Σαξωνία. | Ἄνω τῦ Ῥήνυ. | Βαυιέρα. |
| Ἄνω Σαξωνία. | Φρανκονία. | Ἀυςρία. |

### ΚΥΚΛΟΣ ΤΗΣ ΒΕΣΤΦΑΛΙΑΣ.

Διαίρεσις:

- Ἐκκλησιαστικοί.
  - Ἐπισκοπαί.
    - Μύνςερ.
    - Λιέγε.
    - Ὀσναβρύκ.
    - Πάδερβορν.
  - Ἡγεμονίαι.
    - Ἴνδεν.
    - Βέρδεν.
- Λαϊκοί.
  - Δουκάτα.
    - Κλέυες ϗ Βέσελ.
    - Ἰυλιέρ.
    - Βέργ, ἔνθα Δυσελδόρφ.
  - Ἡγεμονίαι.
    - Ὂς-Φρισ, ἔνθα Ἔμβδεν.
    - Μίνδεν.
    - Βέρδεν.
    - Ὄλδενβυργ.
  - Κομητάτα.
    - Ὄϊα.
    - Μάρκ.
    - Ῥάυενσβεργ καὶ Μαΐρς.
    - Λίππε.
    - Σαΰν.
    - Βενθάϊμ.
    - Τέκλενβυργ καὶ Λίγγεν.
    - Σχιάυενβυργ.
    - Βίςερβυργ.
- Ἐλεύθεραι Πόλεις.
  - Αὐτοκρατορικαί.
    - Κολωνία.
    - Αΐξ.
    - Δόρτμυνδ.

## ΚΥΚΛΟΣ τῆς Κατωτέρας ΣΑΞΩΝΙΑΣ.

- Διαίρεσις.
  - 'Εκκλησ. 'Επισκ.
    - Λυβέκ.
    - Χίλδεσχέϊμ.
  - Λαϊκοὶ
    - Δουκάτ.
      - Μάγδεβουργ.
      - Βρέμεν
      - Μεκκλενβουργ.
        - Σοχβέριν.
        - Γουστρόβ.
      - Χολστάϊν.
        - Γλύκσταδτ.
        - Γόττορπ.
      - Λαύενβουργ.
    - 'Επαρχία τοῦ Βρούνσβικ.
      - Λύνεβουργ.
        - Ζέλλ.
        - Γρύβενχάγεν.
        - Κάλενβεργ.
      - Βόλφενβύτελ.
    - 'Ηγεμονίαι.
      - 'Αλβερστάδτ.
      - Στέλιτς.
      - 'Ράτζεβουργ.
      - Βλάνκενβουργ.
    - Κομητάτον
      - 'Ραντζάου.
    - Αὐτοκρατορικαὶ Πόλεις.
      - Λυβέκη.
      - Γόσλαρ.
      - Βρέμεν.
      - 'Αμβουργ.
      - Μύλχαυσεν.
      - Νόρτχαυσεν.

---

## ΚΥΚΛΟΣ τῆς Ἀνωτέρας ΣΑΞΩΝΙΑΣ.

Διαίρεσις.

- Ἐλεκτοράτου τῆς Σαξωνίας.
  - Κύκλ. τοῦ Ἐλεκτοράτου τοῦ . . . Βίττεμβεργ.
  - Μαρκιονάτου τῆς Μισνίας: Μίσσεν. Δρέσδα. Τόργαυ.
  - Κύκλοι
    - τῆς Λείψιας . . . Λείψια.
    - τοῦ Ἔρτζεμβεργ: Φρεύβεργ. Ζβίκαυ.
    - τοῦ Βοϊτγλάνδ . . . Πλάυεν.
    - τοῦ Νεύςαδτ . . . Νεύςαδτ.
  - Ἐπισκοπαὶ τοῦ . . . . Μέρσβεργ. Ναύμβεργ.
- Ἐπαρχίαι τοῦ Βράνδεβεργ.
  - Μαρκίας Ἐλεκτορ.
    - Ἄλτε Μάρκ . . . Στένδαλ. Ἀρνεβεργ.
    - Πολαιὰ Μαρκία
    - Μ. τοῦ Πρίγνιτζ . . . Πέρλ.βεργ.
    - Μίττελ Μάρκ: Βερλίν.
    - Μέση Μαρκία
    - Μ. τοῦ Οὔκερ . . . Ἀβελβεργ.
  - Νέα Μαρκία . . . . . Κύςριν.
  - Δουκάτου τοῦ Γρόσσεν . . . Γρόσσεν.
- Κλάδοι τῆς Σαξωνίας
  - Βάϊμαρ . . . . . . Βάϊμαρ. Αἴσεναχ.
  - Κοβοῦργ . . . . . . Κοβοῦργ.
  - Γότθα . . . . . . . Γότθα.
  - Ἄλτεμβεργ . . . . . Ἄλτεμβεργ.
  - Κέρφουρτ . . . . . . Κυέρφουρτ.
- Πομερανία
  - Σβεκικὴ . . . . . . Στράλσουνδ. Βολγάς. Βεργχεν. ἡ Νῆσος Ῥύγεν.
  - Πρωσιακὴ . . . . . Στέττιν. Ἀνκλαμ.
- ἡ Ἡγεμονία τοῦ Ἄνχαλτ . . . . Δεσσάβ. Βέρνβεργ.
- Κομητάτα τοῦ . . . . . . . . Σχβάρτζβεργ. Μάνσφελδ. Στολβεργ. Βερνιγερόδ.
- Δεσποτείας . . . . . . . . . Γέρα. Ζβίκαυ.

## ΚΥΚΛΟΣ τῆ Κατωτέρω ῬΗΝΟΥ.

- Διαίρεσις εἰς
  - Ἐκκλησ. Ἐπισκοπ.
    - Μάϋντζ, ἔνθα εἰσὶ
      - ἐν τῷ Ἐλεκτ. — Μάϋντζ.
      - ἐν τῇ Θυριγγίᾳ — Ἔρφυρτ.
      - ἐν τῷ Εἰσφελδ — Χέϊλιγενςαδτ.
    - Τρεύες
      - ἄνω . . . . — Τρεύες. Χίλδεσχεϊμ.
      - κάτω . . . . — Κόβλεντζ.
    - Κολονία
      - Ἐλεκτ.
        - ἄνω . — Βόνν.
        - κάτω. — Νωϊς.
      - Κομητάτου τῆ . — Ῥέκλιγχάυσεν.
      - τῆς Βεςφαλίας . — Ἄρνσβεργ.
  - Λαϊκοὶ Παλατινάτου τῆ Ῥήνου .
    - ἀνατολικ. . . — Μάνχαϊμ. Χάϊδελβεργ.
    - δυτικὸν . . — Φράνκενταλ.

## ΚΥΚΛΟΣ τῆ Ἀνωτέρω ῬΗΝΟΥ.

- Διαίρεσις εἰς
  - Λαϊκοὶ
    - Ἔσση .
      - ἄνω . . . . — Μάρβεργ.
      - κάτω . . . — Κάσσελ.
    - Ἐπαρχ. τῆ Νασσάυ
      - Νασσάυ-Βεϊλβέργ — Βεϊλβέργ.
      - Νασσάυ-Σάρβρυκ
      - — Οὔσιγγε — Βισβάδεν.
    - Κομητάτου τῆ Ἀνάυ κ. τλ. — Ἀνάυ.
    - Δουκάτου τῶν δύο Γιπόντων. — Ζβάϊϋβρύκκεν.
    - Ἐπαρχίαι τῆ Σάλμ.
      - Σάλμ . . . — Σάλμ.
      - Κιρβέργ . . — Κιρβέργ.
  - Ἐκκλησίας. Ἐπισκοπ.
    - Βόρμς . . . . . . . . . — Νέϋ-Λαϊνιγγε.
    - Σπίρε . . . . . . . . — Βρυσχάλ.
    - Φύλδε . . . . . . . . — Φύλδα.
  - Πόλεις Αὐτοκρατορικαὶ — ἐπὶ τῆ Μάϊν ποτ
    - Βόρμς.
    - Σπίρε.
    - Φράνκφορτ.
    - Φρίδελβεργ.
    - Βέτζλαρ.
    - Γέλνχάυσε.

## ΚΥΚΛΟΣ τῆς ΦΡΑΝΚΟΝ.

Διαίρεσις τῆς

- Ἐκκλησίας Ἐπίσκοποι.
  - Βάμβεργ.
  - Βύρτζβεργ.
  - Αἰχστάδτ.
- Λαϊκοί
  - ἡγεμονίαι
    - Κόλμβαχ.
      - Βαιρέτ.
      - Κόλμβαχ.
    - Ἄνσβαχ, ἢ Ὀνολτζβαχ.
    - Ἔνβεργ . . .
      - Σχλευσιγγεν.
      - Σχμαλκαλδεν.
      - Καίμχιλδ.
    - Σχβάρτζενβεργ.
    - Λόβενστεϊν - Βερτχεΐμ.
    - Χόχενλοχεν.
  - Κόμητάτα . . . . πολλά.
- Αὐτοκρατ. Πόλεις
  - Νύρεμβεργ.
  - Ῥοτεμβεργ.
  - Βίνδσχεϊμ.
  - Σχβάινφουρτ.
  - Βαϊσσεμβεργ.

## ΚΥΚΛΟΣ τῆς ΣΟΥΑΥΙΑΣ ἢ ΣΒΑΥΙΑΣ.

Διαίρεσις τῆς

- Ἐκκλησιαστικοί
  - Ἐπίσκοποι
    - Κωνσταντίας.
    - Αὔγβεργ.
  - Προστάται: Ἐλβάγγεν.
  - Ἡγεμονεία: Κέμπτεν.
- Λαϊκοί
  - Δουκᾶτον τοῦ Βίττεμβεργ . . .
    - Στούτγαρδ.
    - Τύβιγγεν.
  - Μαρκιονᾶτον τοῦ Βάδε
    - Βάδε . . .
      - Βάδε.
      - Ῥάσταδτ.
    - Δούρλαχ . .
      - Δούρλαχ.
  - Ἡγεμονεῖαι
    - Φύρστεμβεργ.
    - Λίχτενστεΐν.
- Πόλεις Ἐλεύθεροι
  - Αὔσβεργ.
  - Οὔλμ.
  - Ἄλλ.
  - Ἄλβεον.
  - Νόρδλιγγεν.
  - Δίνκοβεργ.
  - Μέμμιγγεν.
  - Κέμπτεν.
  - Λίνδαυ.
  - Ῥοτβείλ.

## ΚΥΚΛΟΣ τῆς ΒΑΥΙΕΡΑΣ ἢ ΒΑΥΑΡΙΑΣ.

*Διαίρεσις αὐτῆς*

- *Ἐκκλησιαστικοὶ*
  - *Ἐπισκοπ.*
    - *Σάλτζβεργ.*
    - *Φρέυσιγγεν.*
    - *Ῥατισβῶνα.*
    - *Πασσάυ.*
  - *Ἡγεμονίαι* — *Βέρχτεσγάδεν.*
- *Λαϊκοὶ*
  - Τὸ *Δουκάτον τῆς* Βαυιέρας *διαιρεῖται*
    - *εἰς ἀνωτέρ. βαυιέραν.*
      - *Μόνιχ ἢ* Μόνχεν.
      - *Λάνδσβεργ.*
      - *Ἰνγολστάδτ.*
      - Ἄβενσβεργ.
      - Βάσσερβεργ.
      - *Ἐρχινγσέϊ.*
      - *Βέργχαυσεν.*
    - *Κατωτέρ. Βαυιέρ.*
      - *Λάνδσχούτ.*
      - *Στράουβιγγ.*
      - *Χάμ.*
  - *Ἀνώτερον Παλατινᾶτον* . Ἄμβεργ.
  - *Ἡγεμονίαι* . . . . .
    - *Νέϋβεργ.*
    - *Σύλτζβαχ.*
  - *Πόλεις Αὐτοκρατορικαὶ* . *Ῥεγενσβοὺργ ἢ Ῥατισβῶνα.*

## ΚΥΚΛΟΣ τῆς ΑΥΣΤΡΙΑΣ.

Διαίρεσις αὐτῆς:

- Ἀρχιδουκάτον τῆς Αὐστρίας
  - Κατωτέρα Αὐστρία . . Βιέννα. Νάϋσαδτ.
  - Ἀνωτέρα . . Λίντζ.
- Δουκάτον
  - Στυρίας . . Γράτζ. Ἰουδενβοῦργ. Σιεκάυ. Κιλλίϋ.
  - Κορινθίας . . Κλάγενφουρτ. Γέρκα. Βίλλαχ.
  - Καρνιόλας . . Λάϋβαχ. Μέτλιγγ.
- Φριοὺλ Αὐστριακὸν Ἰστρία . . Γορίτζ. Ὕδρία. Ἀκυλέα. Τριέστι. Φιούμι.
- Πρὸς τὸ Δυτικὸν . . .
  - Τυρὸλ ἔνθα εἰσὶ Ἴνσπρυκ. Ἄλλ. Κούφστεϊν. Στερτζίγγεν. Ῥόλτζανο.
  - Ἐπισκοπαὶ . . . Βρίξεν. Τρέντ.

Ὑπόκεινται τῇ Αὐστρίᾳ πρὸς τούτοις 1. Ἡ Μοραυΐα, ἔχει Ἐγκατοίκους 1,260,000· ἧς πρωτεύουσα τὸ Οὔλμιτζ. 2. Ἡ Γαλλιτζία, μέρος τῆς Πολωνίας· ἧς πρωτεύουσα τὸ Λέμβεργ. 3. Μέρος τῆς Σιλεζίας μὲ 270,000 Ἐγκατοίκους, καὶ τὸ Κομητάτον Τέσχεν. 4. Ἡ Ἐπαρχία τῆς Βενετίας. 5. Ἡ Λουσάνσα, καὶ 6. ἡ Βουκοβίνα. Ὅρα· περὶ τῆς Λουσάνσας, καὶ Βουκοβίνας ἐν τῷ περὶ Οὐγγαρίας.

## ΚΕΦΑΛΑΙΟΝ Θ'.

### Περὶ τῆς Ἐλβετίας.

§. 277. Ἡ Ἐλβετία, la Suisse, τῆς Κελτικῆς Γαλλίας ἐςὶ μέρος· ὀρεινὴ δὲ ἡ ἐν αὐτῇ γῆ καὶ λιμνώδης, καὶ ὑπὸ πολλῶν διατεμνομένη ποταμῶν· ἐνδεῖται καὶ τὸ πλεῖςον αὐτῆς μέρος ὀλιγόκαρπον. ἔχει δ' οὖν ὅμως πεδιάδας τινὰς, οἶνον, καὶ σπέρματα πολλὰ καρποφορήσας.

§. 278. Διέμεινεν ἡ Ἑλβετία ὑπὸ τὴν τῶν Ῥωμαίων ἀρχὴν ἀπὸ τῶν ἡμερῶν Ἰουλίου τοῦ Καίσαρος, τοῦ αὐτὴν καθυποτάξαντος, ἄχρι τῶν τοῦ Αὐτοκράτορος Ὀνωρίου· τότε δὲ τῷ τῶν Γερμανῶν κράτει εἴξασα, τὸν ζυγὸν αὐτῶν κατὰ τὸ 1308· ἔτος ἀποῤῥίπτειν ἤρξατο. Τρεῖς δὲ τῆς Ἑλβετίας Καντῶνες, τὸ Οὖρι, τὸ Σβίτζον, καὶ ἡ Οὐνδερβαλδία, πρῶται τοῦτο ποιῆσαι ἐτόλμησαν· εἶτα καὶ ἄλλαι πόλεις ἐν τοῖς ἐφεξῆς ἔτεσιν, ἄχρι δηλαδὴ τοῦ 1513 ἔτους, τὸ αὐτὸ ποιήσασαι, συνωμότιδες ἐγένοντο.

§. 279. Σύγκειται δὲ τὴν σήμερον ἡ τῆς Ἑλβετίας ἐπικράτεια ἐκ 13 μερῶν, Καντώνων καλουμένων, Ἀριςοκρατίας συνιςώντων, ἐλευθέρας μὲν καὶ αὐτοκεφάλους, συνωμοσίαν δὲ μεταξὺ ἀλλήλων ἐχούσας ὑπὲρ τῆς ἀμοιβαίας καὶ κοινῆς αὐτῶν ἐλευθερίας. οὐκ ἔςι δὲ ἐν πᾶσι τοῖς Καντῶνοις Ἀριςοκρατικὴ ἡ Διοίκησις· ἔνιοι γὰρ αὐτῶν δημοκρατικῶς διοικεῖται.

§. 280. Τρία δὲ ἐν τῇ Ἑλβετίᾳ τὰ τῶν θρησκευμάτων εἴδη, τὸ Ῥωμαϊκὸν, τὸ τοῦ Λουθήρου, καὶ τὸ τοῦ Καλβίνου.

§. 281. Οἱ Ἑλβήτιοι εἰλικρινεῖς εἰσὶ, ῥωμαλέοι φιλελεύθεροι, ἀκέραιοι τὸν νοῦν, ϗ τῶν πολεμικῶν διαταγῶν ἀκριβεῖς φύλακες. Τούτους δέ φασιν εἶναι τοὺς χαρακτῆρας, ἐξ ὧν οἱ μεγάλοι, ϗ οἱ πολιτικοὶ, ϗ οἱ στρατιωτικοὶ συγκροτοῦνται ἄνδρες.

§. 282. Τὸν ἀριθμὸν τῶν τὴν Ἑλβητίαν ἐνοικούντων πλείονα τῶν 2 000,000 ἡγοῦνται· κατ' ἀναλογίαν δὲ τοῦ ἀριθμοῦ τούτου ὑπέρκειται τὸ στρατιωτικὸν αὐτῶν τάγμα τὸ τῶν λοιπῶν βασιλειῶν. ϗ γὰρ στρατιῶται εἰσιν ἅπαντες οἱ ἀγρῶται, ἕτοιμοι ὑπὲρ τῆς πατρίδος μάχεσθαι· δι ἣν αἰτίαν τυχὸν εἰρηνικῶς διαπαντὸς διάγουσι.

§. 283. Περιέχει δὲ ἡ Ἑλβητία πρὸς τοῖς 13 Καντῶσι, ϗ ἄλλας συνωμότιδας ἐπαρχίας 8· οἱ μὲν οὖν Καντῶνες εἰσὶν οἱ ἑξῆς.

1. Ἡ Βέρνα, Berne.
2. Ἡ Βασιλεία, Basle, ἡ ποτὲ Ἀριάλβινον καλουμένη.
3. Τὸ Τίγουρον, ἢ Ζυρὶχ, Zurich.
4. Ἡ Σχαφουσία, Schafhouse.

Ἐν τούτοις τὸ τοῦ Λουθήρου θρησκεύεται δόγμα.

5. Ἡ Γλαρῶνα, ἢ Γλάρις, Glaris.
6. Ἡ Ἀββατισκέλλα, ἢ Ἀππενζὲλ, Appenzell.

Οἱ τῶν δύω τούτων οἰκήτορες Καλβῖνοι ϗ Κατόλικοι.

7. Τὸ Σαλόδωρον, Soleure.
8. Τὸ Φρίβουργον, Fribourg.
9. Ἡ Λουκερία, ἢ Λουκέρνα, Lucerne.
10. Τὸ Τούγιον, ἢ Τύγιον, Zug.
11. Ἡ Σουϊτία, ἢ Σουίτιον, Schwitz.
12. Τὸ Οὖρι, Ury, ϗ

13. Ἡ Οὐνδερβαλδία, (α) Underwald.

Ἐν τοῖς ἑπτὰ τούτοις τὰ Ῥωμαϊκὰ θρησκεύουσι δόγματα.

Αἱ δὲ συνωμότιδες ἐπαρχίαι εἰσὶν αὗται.

1. Ἡ Ἀριστοκρατία τῶν Γρισώνων, ἔθνους Γερμανικοῦ.
2. Οὐάλης Τελίνα, ἢ Βαλτελίνα Valteline, ἐπαρχία, ἢ Ἡγεμονία μεγάλη, ἡ ὑπὸ τὴν εἰρημένην Ἀριστοκρατίαν.
3. Ἡ Οὐαλεσία, Valais, ἣν τὸ πάλαι οἱ ἐκ τῆς Ναρβωνησίας Γάλλοι κατῴκουν, Σαδανοί, καὶ Οὐεραγροὶ καλούμενοι.
4. Ἡ Οὐιέννα, ἢ Βιέννα, Bienne.
5. Τὸ Νεοχατέλιον, Neuschatel, Κομιτάτου, τὰ νῦν ὑπὸ τὸν τῆς Πρωσσίας Βασιλέα.
6. Ἡ Γενεύα Ἀριστοκρατία, (β) Geneve.
7. Ἡ Πόλις τοῦ ἁγίου Γάλλου, la ville de St. Gal, καὶ
8. Ἡ χώρα τῆς Ἀββατίας τοῦ ἁγίου Γάλλου, μέρος οὖσα τοῦ Καντῶνος τῆς Ἀββατισκέλλης.

§. 284. Πόλεις δὲ τῆς Ἑλβετίας τῶν ἄλλων πρωτεύουσαι 19 ὧν 11, ὁμώνυμοι, ὧν πρωτεύουσι Καντώνων.

1. Ἡ Βέρνα.
2. Ἡ Βασιλεία.
3. Τὸ Ζυρίχ.
4. Ἡ Σχαφουσία.
5. Ἡ Γλαρώνα.

---

(α) Τῷ 1798. Δὲ οἱ, 13 Καντῶνες τῆς Ἑλβετίας ἠνώθησαν εἰς μίαν Δημοκρατικὴν διοίκησιν.

(β) Προσεκολλήθη τὰ νῦν τῇ Γαλλίᾳ, ὁμοίως καὶ ἡ Δημοκρατία τοῦ Μυλχάουσεν, καὶ τὸ Ἐπισκοπάτον τῆς Βασιλείας.

6. Η' Αππενζέλ.
7. Τὸ Σαλόδωρον.
8. Τὸ Φρίβεργον.
9. Η' Λυκέρνε
10. Τὸ Ζὺγ.
11. Τὸ Σχβίτζ.
12. Τὸ Ἀλτόρφιον, ἢ Ἀλτόρφ, Altorf, πρωτεύυσα τῦ Οὔρι.
13. Η' Σανδία, Stentz, τῆς Οὐνδερβαλδίας.
14. Η' Ἰλαντία, Hantz, ϗ
15. Η' Κυρία ἢ Κοῖρε, Coire, πρωτεύυσα τῶν Γρισώνων.
16. Η' Σιὼν, Sion, τῆς Οὐαλεσίας.
17. Η' Οὐϊέννα, τῆς ὁμωνύμυ αὐτῇ ἐπαρχίας.
18. Τὸ Νευχατέλιον τῦ ὁμωνύμυ αὐτῷ Κομητάτυ, ϗ
19. Η' Γενεύα τῆς ὁμωνύμυ αὐτῇ Ἀριςοκρατίας.

§. 285. Ποταμοὶ ἐν τῇ Ἐλυητίᾳ μεγάλοι 4.

1. Ο' Ῥῆνος, le Rhin, (ὅρα §. 171.)
2. Ο' Ἀρώλας, ἢ Ἄαρ, l'Aar, ὁ ἐν τῷ Καντῶνι τῆς Βέρνης τὰς ἀρχὰς ἔχων, ϗ τῷ Ῥήνῳ συνενούμενος.
3. Ο' Ῥοδανὸς, le Rhone, ὁ διὰ τῆς Γενεύης λίμνης διερχόμενος (ὅρα §. 154.) ϗ
4. Ο' Ἴννος, ἢ Αἶνος, l'Inn. ὁ ἀπὸ τῆς τῶν Γρισώνων χώρας ἀρχόμενος, ϗ τῷ Δανυβίῳ συνενόμενος.

§. 286. Λίμναι δὲ ἐν τῇ Ἐλυητίᾳ ἐπίσημοι 7.

1. Η' τῆς Γενεύης, de Geneve.
2. Η' τῦ Νευχατελίυ, de Neuschatel, ἡ ϗ Ὑβερδυν, Yverdun, καλυμένη.
3. Η' τῆς Βιέννης, de Bienne.

4. Ἡ τῆς Θῦνε, Thoun, πόλεως τῦ Καντῶνος τῆς Βέρνης.

5. Ἡ τῆς Βριέντζης, de Brience, ἐγγὺς τῆς προλαβέσης.

6. Ἡ τῶν τεσσάρων Καντώνων, des quadre Cantons, ἡ μεταξὺ τῶν τεσσάρων κειμένη Καντώνων, τοῦ Λεκέρνης, τῦ Σχβίτζ, τῦ Οὔρι, καὶ τῦ Οὐνδερβελτ, καὶ

7. Ἡ τῦ Ζυρίχ.

§. 287. Τῶν δὲ ὀρέων, ὧν ἡ Ἑλβετία πλήρης, τὰ ἐπιφανέστερα εἰσὶ τὰ Ἄλπη, τὰ ἐπισημότερα τῆς Εὐρώπης ὄρη. τέτων δύω τὰ ὑψηλότερα ἐν τῇ Ἑλβετίᾳ, εἰσὶ τὰ ἑξῆς.

1. Ὁ μέγας ἅγιος Βερνάρδος, ὁ ἐπ᾽ ἄκρας τῆς Οὐαλεσίας, καὶ

2. Τὸ ὄρος τῦ ἁγίε Γοθάρδε, τὸ ἐν τῷ Οὔρι.

§. 288. Περατῦται ἡ Ἑλβετία κατὰ μὲν Ἀνατολὴν, καὶ Ἄρκτον, ὑπὸ τῆς Γερμανιας· κατὰ δὲ Μεσημβρίαν, ὑπὸ τῆς Ἰταλίας· κατὰ δὲ Δύσιν ὑπὸ τῆς Γαλλίας.

§. 289. Τῶν δὲ ἐπ᾽ εὐθείας αὐτῆς ἐκτάσεων, ἡ μὲν κατὰ μῆκος μεγίστη, ἡ ἀπὸ Ἀνατολῆς πρὸς Δύσιν μίλια 45· ἡ δὲ κατὰ πλάτος, ἡ ἀπὸ Μεσημβρίας πρὸς Ἄρκτον 36.

§. 290. Τὸ μὲν τῆς Ἑλβετίας Μῆκος κεῖται ὑπὸ τὴν 24 μοῖραν, καὶ ἐκτείνεται ἄχρι τῆς 29· τὸ δὲ Πλάτος ὑπὸ τὴν 46, ἄχρι τῆς 48. (Δ)

(Δ) *Νέα διαίρεσις τῆς Ἑλβετικῆς Δημοκρατίας εἰς ιη Επαρχίας, ἢ Καντώνας.*

| *Καντῶνες.* | *Πρωτεύουσαι Πόλεις.* |
|---|---|
| 1. Ἀργοβία . . . . . | Ἀράου. |
| 2. Βάδεν . . . . . . | Βάδεν. |
| 3. Βασιλεία . . . . . | Βασιλεία. |
| 4. Βελλιντζόνα . . . . | Βελλιντζόνα. |
| 5. Βέρνη . . . . . . . | Βέρνη. |
| 6. Λέμαν . . . . . . | Λαυσάννα. |
| 7. Λίνθ . . . . . . . | Γλαρίς. |
| 8. Λουκέρνη . . . . . | Λουκέρνη. |
| 9 Λούγανον . . . . . | Λούγανον. |
| 10. Ὀβερλάνδ . . . . . | Θοῦν. |
| 11. Σάριν, καὶ Βρόϋε . . . | Φριβοῦργ. |
| 12. Σιαφχάουσε . . . . . | Σιαφχάουσε. |
| 13. Σεντὶς . . . . . . | Ἁγίου Γάλλου. |
| 14 Σολὲρ . . . . . . | Σολέρ. |
| 15 Θουργοβία . . . . . | Φραουενφέλδ. |
| 16. Βαλδστέττεν . . . . | Σχβίτζ. |
| 17. Βαλλαὶ . . . . . | Σιών. |
| 18. Τζύριχ . . . . . . | Τζύριχ. |

| *ΕΚΤΑΣΙΣ.* | | *ΘΕΣΙΣ.* |
|---|---|---|
| κατὰ μῆκος 75 μίλ. | μεταξὺ | 23 καὶ 28 μηκ. |
| κατὰ πλάτος 58 | τῶ | 45 καὶ 48 πλάτ. |

περιέχουσα 3.000 μίλ. τετραγων. καὶ κατ' ἀναλογ. κατοικοῦσι 560 ἄνθρωποι εἰς ἓν τετραγ. μίλ.

*Ὁ ἀριθμὸς τῶν Ἐγκατοίκων τῆς Ἑλβετίας* ἀνέβει 1,700,000.

## ΚΕΦΑΛΑΙΟΝ Ι΄.

## Περὶ τῆς Ἰταλίας. (E)

§. 291. Χερσοννήσῳ ἔοικε, ϗ ὅλη ποδὸς ὑποδήματι ὁμοία ἐςὶ τὸ σχῆμα ἡ Ἰταλία· χώρα δέ ἐςιν ἡ Ἰταλία τῶν τῆς Εὐρώπης βελτιόνων μία· ἧς ὑγιεινὸς μὲν ὁ ἀὴρ, κἂν λίαν θερμὸς, μάλιςα ἐν τοῖς μεσημβρινοῖς μέρεσιν· εὔφορος δὲ ἡ γῆ, σπέρματα, ϗ οἶνον, ϗ ἔλαιον, ϗ ὀπώρας παντοίας, ϗ βελτίςας καρποφορῦσα, ϗ ὁ τῆς Μετάξης δὲ σκώληξ ἐν αὐτῇ τελεσφορεῖ.

§. 292. Διάφοροι δὲ ἐν τῇ Ἰταλίᾳ αἱ ἡγεμονικαὶ ἐξυσίαι· οἷον Βασιλεῖαι, Ἀριςοκρατίαι, Πριγκιπάτα, Δυκάτα. (α)

§. 293. Μόνον δὲ τὸ Ῥωμαϊκὸν θρήσκευμα ἐν αὐτῇ ἐφικτὸν θρησκεύειν· ϗ τὸ Ἰυδαϊκὸν δὲ, ἔντε τῇ Ῥώμῃ, κἂν ταῖς Ἐνετίαις χώραν ἔχει.

§. 294. Πολιτικοί εἰσιν οἱ Ἰταλοὶ δεξιοὶ ϗ ὀξύνοες, ἀριςοτέχναι, ϗ τῆς μυσικῆς ϗ τῶν θεαμάτων ἐμπαθεῖς, ἐραςαί.... τὺς τίτλυς δὲ ϗ τὰ ἀξιωματικὰ ὀνομαςήρια ὑπὲρ τὰ ἄλλα γένη πολλαπλασιάζοντες, ματαιόφρονας ἑαυτὺς ἐμφαίνυσι ϗ φανίας.

§. 295. Ἴσον ἡγῦνται τὸν ἀριθμὸν τῶν τῆς Ἰταλίας οἰκητόρων 18,144,000· Τύτων ἡ μὲν καλυμένη ἐκκλησιαςικὴ διοίκησις, ἥτις ἐςὶν ἡ Παππικὴ, ἔχει, 1,500,000. Ἡ δὲ τῶν ἐνετῶν 1,800,000. Ἡ δὲ τῆς Βασιλείας τῆς Σαρδινίας 2,000,000. Ἡ δὲ τῶν δύω

---

(α) Ὅρα τὴν Σημείωσιν εἰς τὸ τέλος τύτυ τῦ Κεφαλαίυ.

Σικελιῶν, ἤτοι τῆς Νεαπόλεως, Βασιλείας 2.624,000. Ἡ δὲ τῆς Κύρνη, εἴτεν Κόρσικας ἡγεμονία 220,000. Αἱ δὲ λοιπαὶ τῆς Ἰταλίας ἐπαρχίαι 10 000,000.

§. 296. Πολεμικὰς δὲ ἄνδρας ἐν τῇ Ἰταλίᾳ ὁ μὲν Βασιλεὺς τῆς Νεαπόλεως ἔχει 25,000· ὁ δὲ τῆς Σαρδινίας 20,000. Ἡ δὲ τῶν Ἐνετῶν Ἀριστοκρατία 28,000. Αἱ δὲ λοιπαὶ δεσποτεῖαι ὁμοῦ ἅπασαι 15,000.

§ 297. Διαιρεῖται ἡ Ἰταλία εἰς μέρη τρία· εἰς τὸ Ἀρκτῶον, εἰς τὸ Μέσον, καὶ εἰς τὸ Μεσημβρινόν· καὶ τὸ μὲν Ἀρκτῶον, εἴτεν τὸ τῆς Λομβαρδίας περιέχει Δεσποτείας 9.

1. Τὸ Δουκάτον τῆς Σαβαυδίας, de Savoye.
2. Τὸ Πριγκιπάτον τῆ Πεδεμοντίε, (α) de Piemont.
3. Το Δουκάτον τῆ Μοντεφεῤῥάτε, de Montferr.t.
4. — τῆ Μεδιολάνε, de Milan.
5. — τῆς Μούτινας, ἢ Μόδενας, de Modene.
6. — τῆς Πάρμης, καὶ τῆς Πλακεντίας, (β) de Parme et de Plaisance.
7. — τῆς Μαντόας, ἢ Μάντοβας, (γ) du Mantoue.
8. — τὴν Ἀριστοκρατίαν τῶν Ἐνετῶν, (δ) de Venise, καὶ τῆς Γενόας, de Genes.

---

(α) Τὸ Πιεμόντι, πρόσοδας βασιλ σημαίνων. ὑπετάχθη τῇ Γαλλίᾳ τῷ 1800 ἔτει, διαιρεῖται εἰς ἓξ μοίρας, ἐκτείνεται κατὰ μῆκος 47 μίλ. καὶ κατὰ πλ. 33.

(β) Ἡ τὸ Δουκάτον τῆς Πάρμας ἔχει ἐγκατοίκες 500,000.

(γ) Ὅρα τὴν Σημείωσιν περὶ ὅλων αὐτῶν.

(δ) Ἡ Ἀριστοκρατία τῶν Ἐνετῶν ἔλαβε τέλος τῷ 1797 ὑπὸ τῶν στρατευμάτων τῆς Γαλλίας.

9. Καὶ τῆς Γενύας, (α) de Genes.

Τὸ δὲ Μέσον 3.

Τὸ μέγα Δουκᾶτον τῆς Τυσκίας, ἢ Τοσκάνης, (β) Toscane.

2. Τὴν Ἐκκλησιαστικὴν, ἤτοι Παπικὴν Δεσποτείαν, (γ) καὶ

3. Τὴν Ἀριστοκρατίαν τῆς Λύκας, (δ) de Luques.

Τὸ δὲ Μεσημβρινὸν 1.

1. Τὴν τῆς Νεαπόλεως Βασιλείαν.

§. 298. Αἱ ὑπὸ τῶν Γεωγράφων Ἰταλιώτιδες Νῆσοι νομιζόμεναι 5.

1. Ἡ Σικελία, Sicile, Βασιλεία οὖσα ὑπὸ τὸν Νεαπόλεως.

---

στρατηγῷ Βοναπάρτη, τῆς ὁποίας μέρος μὲν ἐδόθη τῇ Κισαλπίνῃ, μέρος δὲ τῷ Αὐτοκράτορι τῆς Γερμανίας, κατὰ τὴν Εἰρήνην τῦ Κάμπο-Φόρμιο, καὶ τῆς Λουνεβίλλ· κεῖται πλ. 45, 35′ μ. 30, 12′, 45″.

(α) Τὰ νῦν Ἔλαβε τὴν Δημοκρατικὴν διοίκησιν, ἔχει 400,000 ἐγκατοίκυς. Ἐκτείνεται κατὰ μῆκος 53 μίλ. καὶ κατὰ πλάτος 18.

(β) Τὸ Δουκᾶτον τῆς Τοσκάνας, κατὰ τὴν εἰρήνην τῦ Λουνεβιλλ ἐδόθη τῷ υἱῷ τῦ Δουκὸς τῆς Πάρμας, μὲ τίτλον Βασιλείας. ἐκτείνεται κατὰ μῆκος 37 μίλ καὶ κατὰ πλάτος 31 ἔχει ἐγκατοίκυς 1,000,000 στρατιωτικὴν δύναμιν 6,000, καὶ 5 Φεργάδας.

(γ) Ἐκτείνεται κατὰ μῆκος 68 μίλ καὶ κατὰ πλάτος 44.

(δ) Καὶ αὕτη ὁμοίως τὴν Δημοκρατικὴν μορφὴν ἔλαβε, ἐκτείνεται κατὰ μῆκος 9 μίλ κατὰ πλατ. 6. ἔχει ἐγκατοίκους 120,000.

Ἡ Δημοκρατία τῦ ἁγίυ Μαρίνυ, μία μόνη ἡ ὁμώνυμος πόλις.

2. Ἡ Μελίτη, ἤτοι Μάλτα, Malta, ἡ ὑπὸ τοὺς ὁμωνύμους αὐτῇ Ἱππεῖς.
3. Αἱ ἑπτὰ τῆς Λιπάρεως Νῆσοι, μέρος ὄσαι τοῦ Βασιλείου τῆς Σικελίας.
4. Ἡ Σαρδὼ, ἢ Σαρδηνία, la Sardaigne, ἡ τίτλον ἔχουσα Βασιλείας, καὶ ὑπὸ τὸν Δοῦκαν οὖσα τῆς Σαβαυδίας, καὶ
5. Ἡ Κύρνος, ἢ Κόρσικα, la Corse, ἡ τὰ νῦν ὑπὸ τοὺς Γάλλους. (ὅρ. §. 201.)

§. 299. Πρωτεύουσαι ἐν τῇ Ἰταλίᾳ πόλεις 13.

1. Η Ῥώμη πρωτεύουσα τῆς Παπικῆς Δεσποτείας καὶ ἁπάσης τῆς Ἰταλίας· κεῖται κατὰ πλάτος 41, 45′ μ. 30, 10′ 30″.
2. Ἡ Νεάπολις, τῆς ὁμωνύμου αὐτῇ Βασιλείας.
3. Ἡ Φλωρεντία, τῆς Τοσκίας.
4. Ἡ Δοῦκα, τῆς ὁμωνύμου αὐτῇ Ἀριστοκρατίας.
5. Ἡ Γένουα, ὁμοίως· κεῖται δὲ πλάτ. 44, 45′ μ. 26, 32′.
6. Αἱ Ἐνετίαι, τῆς τῶν Ἐνετῶν Ἀριστοκρατίας. (α)
7. Ἡ Μάντουα, τοῦ Δουκάτου τῆς Μάντουας, κεῖται πλ. 45, 11′ μ. 28, 30′, 30″.
8. Ἡ Πάρμα τοῦ ὁμωνύμου αὐτῇ Δουκάτου.
9. Ἡ Μόδενα, ὁμοίως.
10. Τὰ Μεδιόλανα, ὡσαύτως.
11. Τὸ Κασάλ, τοῦ Μοντεφεῤῥάτου.
12. Τὸ Ταυρινὸν, ἢ Τουρῖνον, τοῦ Πεδεμοντίου, καὶ
13. Τὸ Καμβεριακὸν, ἢ Χάμβερι, τοῦ Δουκάτου τῆς Σαβαυδίας.

---

(α) Τὰ νῦν ὑπὸ τὸν Αὐτοκράτορα.

§. 300. Αἱ δὲ τῶν Ἰταλιωτίδων νήσων πρῶται πόλεις ϛ.

1. Ἡ Μεσήνη, ἢ Μεσσίνα, τῆς Σικελίας.
2. Ἡ Οὐαλέτα, ἢ Βαλέττα, la Valette, τῆς Μελίτης, ἥτις ἐστὶ ὀχυρωτάτη.
3. Ἡ Λίπαρις, ἢ Λιπάρα, ἡ τὸ πάλαι Μελιγουνὶς, τῶν ἑπτὰ ὁμωνύμων αὐτῇ νήσων.
4. Ἡ Κάλαρις, ἢ Καραλλὶς, ἢ Κάγλιαρι, Cagliari, τῆς Σαρδῶ, καὶ
5. Ἡ Βαςία, τῆς Κόρσικας.

§. 301. Πόλεις δὲ παραθαλάσσιοί τε καὶ ἐμπορικαὶ 7.

1. Αἱ Ἐνετίαι.
2. Ἡ Γένυα.
3. Ἡ Νεάπολις.
4. 4. Ἡ Μεσήνη.
5. Ἡ Λιβυρνὸς, ἢ Λιβουρνὸς, ἢ Λιβόρνο, ἐν τῇ Τυσκίᾳ, περίφημον ἔχουσα ἐν τῇ Μεσογείῳ θαλάσσῃ λιμένα.
6. Ὁ Ἀγκὸν, Ancone, ἐν τῇ ἐπικρατείᾳ τοῦ Πάπα, πόλις πρωτεύουσα τῆς ὁμωνύμου αὐτῇ Μάρκας, καὶ λιμένα εὔδιον ἔχουσα ἐν τῷ Ἀδριατικῷ πελάγει, καὶ
7. Ὁ Τάρας, ἢ Τάραντος, le Tarente, ἡ ἐπὶ τοῦ ὁμωνύμου αὐτῇ κόλπου κειμένη, ἐν τῇ βασιλείᾳ τῆς Νεαπόλεως.

§. 302. Λιμένες δὲ Πανόρμιοι 2.

1. Ὁ Πάνορμος, ἢ Παλέρμος, Palerme, καὶ
2. Τὸ Δρέπανον, ἢ Τράπανον, Trapano, ἑκάτερος ἐν τῇ Σικελίᾳ.

§. 303. Ποταμοὶ δὲ τῶν ἄλλων μείζονες 3.

1. Ὁ Πάδος, ἢ Πὸ, ὁ ϗ Ἠριδανὸς καλέμενος, ὁ ἐκ τῶν Ἄλπεων πρὸς τοῖς ὁρίοις τῦ Δελφινάτυ, ϗ τῦ ἐν τῷ Πεδεμοντίῳ Μαρκιωνάτυ τῆς Σαλυκίας, ἐκ βλύζων, ϗ διὰ τῆς Λομβαρδίας εἰς τὸν τῶν Ἐνετιῶν εἰσρέων κόλπον.
2. Ὁ Ἄθεσις, ἢ Ἀταγὶς, ἢ Ἄδιγε, Adige, ὁ τὴν μὲν ἀρχὴν ἀπὸ τῶν Ἄλπεων ἔχων, τὸ δὲ τέλος ἐν τῷ αὐτῷ κόλπῳ, ϗ
3. Ὁ Τίβερις, ὁ ἐκ τῶν Ἀπεννίνων ὀρέων ἀρχόμενος, ϗ τὴν Ῥώμην ποτίζων, ἐν δὲ τῇ Συσκίᾳ θαλάσσῃ, μέρος ὅσῃ τῆς μεσογείυ, καταδυόμενος.

§. 304. Λίμναι δὲ μεγάλαι ὁμοίως 3.

1. Ἡ ἐκ τῶν Ἄλπεων ἐξιῦσα εἰς τὸ τῦ Μεδιολάνου Δυκάτον, ϗ τῷ Πάδῳ συγχεομένη.
2. Ἡ τῆς Κόμυ, τὴν αὐτὴν ἔχυσα ἀρχὴν, καὶ τὸ αὐτὸ πέρας, ϗ
3. Ἡ τῆς Γάρδης ἐν τῇ τῶν Ἐνετῶν ἐπικρατείᾳ.

§. 305. Ὄρη δὲ τὰ ὑψηλότερα 4.

1. Τὰ Ἄλπη, τὰ αὐτὴν ἀφορίζοντα ἀπὸ τῆς Γερμανίας, ϗ Ἐλυητίας, ϗ Γαλλίας.
2. Τὸ Ἀπεννηνὸν, τὸ διὰ μέσου τῆς Ἰταλίας διιὸν, ϗ καθ' ὅλην τὴν κατὰ μῆκος αὐτῆς ἔκτασιν διαιρῶν.
3. Τὸ Βεσύβιον, ἢ Βυλκάνιον, ἐν τῇ τῆς Νεαπόλεως Βασιλείᾳ, ϗ
4. Τὸ τῆς Αἴτνης, ἢ Μοντγιβέλον, ἢ Γίβελ, Gibel, τὸ ἐν τῇ Σικελίᾳ· διάσημον ἑκάτερον τῶν ἐσχάτων τύτων ὀρέων, διὰ τὸ πῦρ, ϗ τὸν καπνὸν, ϗ τὰς φλόγας, ἃς ἐξερεύγονται.

§. 306. Περατοῖ δὲ τὴν Ἰταλίαν κατὰ μὲν Ἀνατολὰς, ἡ Ἀδριατικὴ θάλασσα· κατὰ δὲ νότον ἄνεμον,

ἡ Ἰώνιος· κατὰ δὲ Δύσιν, ἡ Λιγύριος, καὶ ἡ Τυσκία θάλαττα, ἔτι δὲ καὶ ἡ Γαλλία· κατὰ δὲ Βοῤῥᾶν, ἡ Γερμανία καὶ ἡ Ἑλβητία.

§. 307. Τῶν δ' ἐπ' εὐθείας αὐτῆς ἐκτάσεων, ἡ μὲν μεγίστη, ἡ κατὰ μῆκος, ἡ ἀπὸ Μεσημβρίας πρὸς Βοῤῥᾶν, μείζων 155 μιλίων· αἱ δὲ κατὰ πλάτος, αἱ ἀπὸ Ἀνατολῶν πρὸς Δυσμὰς, τρεῖς εἰσὶν, ἡ τοῦ Ἀρκτώου μέρους, ἤτουν τῆς Λομβαρδίας ἴση μιλίοις 75, ἡ τοῦ Μέσου, ἴση 38, καὶ ἡ τοῦ Μεσημβρινοῦ μέρους ἴση 35.

§. 308. Τὸ μὲν Μῆκος τῆς Ἰταλίας ἄρχεται μετὰ τὴν 24 μοῖραν, καὶ λήγει εἰς τὴν 37· τὸ δὲ πλάτος μετὰ τὴν 38, εἰς τὴν 47.

## Σημείωσις.

### (Ε) Νεωτερικὴ Διαίρεσις τῆς ἸΤΑΛΙΆΣ.

| ἘΚΤΑΣΙΣ. | | | ΘΕΣΙΣ. |
|---|---|---|---|
| κατὰ μῆκος | 250 μιλ. | μεταξὺ | τοῦ 37 καὶ 47 τοῦ πλάτους. |
| κατὰ πλάτος | 135 | | 24 καὶ 27 τοῦ μήκους. |

περιέχουσα 10,908 τετραγων. μιλ. καὶ κατ' ἀναλογίαν κατοικοῦσιν 1,833 ἄνθρ. εἰς ἕνα τετραγων. μιλ.

## ΔΙΑΙΡΕΣΙΣ.

| Ἐπαρχίαι. | Ἐξουσιασταί. | Πρωτεύουσαι πόλεις. |
|---|---|---|
| Σαυοΐα . . . . | | Σιαμπερύ. |
| Νίσα . . . . . | | Νίτζα. |
| Μόνακο . . . . | Ἡ | Μόνακο. |
| Κόρσικα . . . . | | Βαστία. |
| Πιεμόντ . . . . | ΦΡΑΝΣΑ | Τουρίν. |
| Μοντφεράτ . . . | | Κάσαλ. |
| Μέρος τοῦ Μιλάνου . | | Ἀλεξάνδρεια. Τορτόνα. |

| | | |
|---|---|---|
| Μιλάνον ἢ Μεδιόλανα | ἡ Δημοκρατία τῆς Κισαλπίνης. | Μιλάνον. |
| Μάντουα . . . . | | Μάντουα. |
| Μόδενα . . . . | | Μόδενα. |
| Βαλτελίνα . . . | | Σονδρίο. |
| Κιαβέννα . . . . | | Κιαβέννα. |
| Βόρμιο . . . . . | | Βόρμιο. |
| Τὸ ἀνατολικὸν μέρος τῆς Ἐπαρχίας τῆς Βενετίας περατούμενον ὑπὸ τοῦ Ποταμοῦ Ἄδιγος . . . . | | Βεργάμη. Κρέμα. |
| Τὸ Ἀρκτῷον μέρος τῆς Ἐκκλησιαστικῆς Ἐπικρατείας . . . | | Φεῤῥάρα. Βολόνια. Ραβέννα. |
| Τὸ Δυτικὸν μέρος τῆς Ἐπαρχ. τῆς Βενετίας | ὁ Αὐτοκράτωρ τῆς Γερμανίας. | Βενετία. |
| Πάρμα . . . . | ὁ Δοὺξ αὐτῆς. | Πάρμα. |
| Γένουα . . . . . | ἡ Λιγυρικὴ Δημοκρ. | Γένουα. |
| Λοῦκα . . . . . | ἡ αὐτῆς Δημοκρατία | Λοῦκα. |
| Τοσκάνα . . . . | ὁ αὐτῆς Βασιλεὺς | Φλωρεντία. |
| Ἅγιος Μαρῖνος . . | Δημοκρατία. | Ἅγιος Μαρῖνος. |
| Ἐκκλησιαστικὴ Ἐπικρατ. . . . . | ὁ Πάπας. | ῬΩΜΗ. |
| Νεάπολις . . . . | ὁ Βασιλεὺς τῶν δύο Σικελιῶν. | Νεάπολις. |
| Σικελία . . . . . | | Παλέρμο. |
| Μάλτα . . . . | . . . . . . . | Βαλέτα. |
| Σαρδίνια . . . . | ὁ Βασιλεὺς τῆς Σαρδινίας. | Καλιάρι. |

## Περὶ τοῦ Βασιλείου τῆς Νεαπόλεως, καὶ τῶν δύο Σικελιῶν.

„Τὸ βασίλειον τῆς Νεαπόλεως περιέχει τὸ μεσημβρινὸν μέρος τῆς Ἰταλίας, ἐκτείνεται κατὰ μῆκος 100 μίλ. ἢ κατὰ πλάτος 70· μεταξὺ τοῦ 37° 48′ ἢ 43 βαθμοῦ τοῦ πλάτους, 31° καὶ 36 τοῦ μήκους, διαιρεῖται εἰς 12 ἐπαρχίας· ἔχει ἐγκατοίκους 5,000,000.

*Καὶ τὴν Σικελίαν διαιρουμένην εἰς 3 ἐπαρχίας· τῆς ὁποίας ἡ Ἔκτασις κατὰ πλάτος εἶναι 36 μίλ. ϗ κατὰ μῆκος 60· ἔχει ἐγκατοίκες 110,000.*

### Σαρδίνια.

*Ὁ Βασιλεὺς ταύτης ἔμεινε τώρα μόνον μὲ ταύτην τὴν Νῆσον, ἥτις ἐκτείνεται κατὰ μῆκος 50 μίλ. ϗ κατὰ πλάτος 30· ἔχει ἐγκατοίκες 275,000.*

### Κισαλπίνα.

| *ἘΚΤΑΣΙΣ.* | | ΘΕΣΙΣ. |
|---|---|---|
| κατὰ μῆκος 55 μίλ. | μεταξὺ | τῦ 44° ϗ 46° 30': τῦ πλάτος. |
| κατὰ πλάτος 50 | | 26 ϗ 30 τῦ μήκος |

*Ἡ Δημοκρατία τῆς Κισαλπίνης* (Cisalpine) *ἐσυστήθη τῷ 1797 εἰς τὴν εἰρήνην τῦ Κάμπο-Φόρμιο, ϗ ἐπιβεβαιώθη τῷ 1801 9 Ἀπριλ. εἰς τὴν Γενικὴν τῆς Εὐρώπης εἰρήνην τῆς Λουνιβίλ.*

Περατοῦται κατὰ βοῤῥᾶν ὑπὸ τῆς *Ἐλβετίας*, ϗ τῦ *Τυρόλο*, κατὰ *Νότ.* ὑπὸ τῆς *Λιγυριακῆς Δημοκρατίας*, ϗ τῦ *Δυκάτυ τῆς Πάρμας*, ϗ τῆς *Τοσκάνας*. κατὰ ἀνατολ. ὑπὸ τῦ Ἀδριατικοῦ *Κόλπυ*, ϗ τῆς *Βενετίας*, ϗ τῦ *Ποταμῦ* Ἄδιγε· ϗ κατὰ δυσμὰς ὑπὸ τῦ *Πεμόντε*.

Διαίρεσις αὐτῆς εἰς 12 Μοίρας.

| *Μοῖραι.* Departemens. | *Πρωτεύουσαι* πόλεις. |
|---|---|
| Ἀγόνια . . . . . . . . . | *Νοβάρα.* |
| *Λάριο* . . . . . . . . . | Κόμο. |
| Ὀλόνα . . . . . . . . . | Μιλάνον. |
| *Σέριο* . . . . . . . . . | *Βεργάμη.* |
| *Μέλα* . . . . . . . . . | *Βρέσκια.* |
| *Ἀνατέρ. τῦ Πὸ* . . . . . | *Κρεμόνα.* |
| *Μίνκιο* . . . . . . . . | *Μάντυα.* |
| Κροςόλο . . . . . . . . | *Ῥέγγιο.* |
| *Πανάρο* . . . . . . . . | *Μόδενα.* |
| *Κατωτ. τῦ Πὸ* . . . . . | *Φεῤῥάρα.* |
| *Ῥένο* . . . . . . . . . | *Βολόνια.* |
| *Ῥύβικον* . . . . . . . . | *Κασένα.* |

*Ἔχει Ἐγκατοίκες 3,857,668.*

*Μιλάνον, ἢ Μεδιόλανα εἶναι ταύτης ἡ πρωτεύουσα πόλις.*

## ΚΕΦΑΛΑΙΟΝ ΙΑ΄.

## Περὶ τῦ Βελγίȣ.

### Εἴτȣν περὶ τῶν Κατωχωρῶν, ϗ τῶν Οὐνίτων ἐπαρχιῶν, ἤτοι τῆς Ὁλανδίας.

§. 309. Τὸ Βέλγιον, τὸ ϗ κατωτέρα Γερμανία καλȣ́μενον, μέρος τῆς παλαιᾶς Βελγικῆς Γαλλίας ἐςί· ϗ διέμεινε μὲν ὑπὸ τὸ τῶν Ῥωμαίων κράτος ἀπὸ Ἰȣλίȣ τȣ̃ Καίσαρος, τȣ̃ αὐτὸ καθυποτάξαντος, ἕως τῶν ἡμερῶν Θεοδοσίȣ τȣ̃ μεγάλȣ. Τότε δὲ διάφορα τῆς Γερμανίας γένη αὐτȣ̃ κατεκράτησαν, ὧν τὸν τυρανικὸν ζυγὸν ἀποσείσαντες οἱ Βέλγιοι, ἰδίȣς κατέςησαν ἡγεμόνας, εἰς δέκα ϗ ἑπτὰ ἐπαρχίας ὅλον μερίσαντες τὸ Βέλγιον. μετὰ δὲ ταῦτα οἱ Ἀυςριακοὶ αὐτȣ̀ς καθυπέταξαν, καὶ μετ᾽ αὐτȣ̀ς οἱ Ἱσπανοί. τελευταῖον δὲ κατὰ τὸ 1581 ἔτος, ἑπτὰ τῶν εἰρημένων ἐπαρχιῶν, τὸν Ἱσπανικὸν ἀποῤῥίψασαι ζυγὸν, ἅτε δὴ τῆς Ἰνκȣϊζιτζιόνης αὐτῶν τὴν δυναςείαν βαςάζειν μὴ δυνάμεναι, δἰ ὁρκωμοσιῶν συνενωθεῖσαι, κοινότητά τινα συνέςησαν· διὸ δὴ ϗ ἐπαρχίαι Οὐνῖται ἐκλήθησαν. τῶν δὲ λοιπῶν δέκα ἐπαρχιῶν αἱ μὲν ὑπὸ τὴν τῶν Ἀυςριακῶν, αἱ δὲ ὑπὸ τὴν τῶν Γάλλων κατήντησαν ἐξȣσίαν Κατωχῶραι, Pays-bas, προσαγορευθεῖσαι.

§. 310. Διαιρεῖται ȣ̓̃ν τὰ νῦν τὸ Βέλγιον εἰς μέρη δύω, ὧν τὸ μὲν τὰς Κατωχώρας περιέχει, τὸ δὲ τὰς Οὐνίτας ἐπαρχίας. ῥητέον ȣ̓̃ν πρῶτον περὶ τῶν Κατωχωρῶν.

§. 311. Τῶν Κατωχωρῶν πυκνὸς μὲν ὁ ἀὴρ, νομαδικὴ δὲ ἡ Γῆ, σπερμάτων τε καρποφόρος, ϗ πεδινή.

ἐν ὠδενὴ δὲ ἄλλω τῶν τῆς Εὐρώπης τόπων τοσῦτον πολυάνθρωποι καὶ ἐγγὺς ἀλλήλων αἱ ἀξιόλογοι πόλεις.

§. 312. Θρησκεύεται δὲ ἐν αὐταῖς τὰ τῆς Ῥωμαϊκῆς ἐκκλησίας, καὶ πᾶσα ἄλλη θρησκεία ἐςὶν ἀπαράδεκτος. διὸ δὴ καὶ Pays-bas catholiques, ἤτοι Κάτωχῶραι κατόλικαι προσαγορεύονται.

§. 313. Οἱ τέτων πολῖται εἰλικρινεῖς εἰσὶ, καὶ ἐν ταῖς φιλίαις πιςοὶ, καὶ τὴν ζωγραφικὴν ἐπίσημοι· ὅτοσῦτον δὲ ἀγχίνοες ὑπὸ τῶν ξένων νομίζονται, ἀλλὰ τῦτο τυχὸν κατὰ πρόληψιν, καὶ γὰρ τῦ τῶν Γάλλων καὶ Ὀλλανδῶν χαρακτῆρος μετέχυσι. φιλομάταιοι δ' ἦν ὅμως εἰσὶ τὰς μεγαλονομασίας φιλῦντες, καὶ τίτλυς.

§. 314 Ὁ μὲν ἀριθμὸς αὐτῶν ἴσος περίπυ 3,000,000· τὸ δὲ ςρατόπεδον αὐτῶν συμπεριέχεται τοῖς τῶν διαφόρων δεσποτειῶν, αἷς ὑπείκυσι.

§. 315. Περιέχυσιν, ὡς ἔφημεν, αἱ Κατωχῶραι ἐπαρχίας 10.

1. Τὸ Δυκᾶτον τῆς Βαρβαντίας, de Barbante, ὅ τινος τὸ μὲν μεῖζον μέρος τῇ Αὐςρίᾳ ὑπόκειται· τὸ δὲ ἔλαττον, τὸ καὶ Βαρβανδία Ὀλλανδικὴ καλύμενον, τῇ τῶν Οὐνίτων ἐπαρχιῶν Ἀριςοκρατίᾳ.
2. Τὸ Κομητᾶτον τῆς Φλανδρίας, de Flandre, ὅ μέρος μὲν τῇ Αὐςρίᾳ, μέρος δὲ τῇ Γαλλίᾳ, μέρος δὲ, τὸ καὶ Ὀλλανδικὴ Φλανδρία προσαγορευόμενον, τῇ εἰρημένῃ Ἀριςοκρατίᾳ καθυπείκει.
3. Τὸ Κομητᾶτον τῆς Ἀννωνίας du Haynaut, ὅ τινος μέρος μὲν ὑπὸ τὴν Αὐςρίαν, μέρος δὲ ὑπὸ τὴν Γαλλίαν, ὑφ' ἧς περιέχεται, ἐν ᾧ τακτέον καὶ τὴν Ἀρχιεπισκοπὴν, τὴν Καμέρανον, ἢ Κάμβραϊ, Cambrai καλυμένην.

4. Τῆς Ἀρτεσίας, d'Artois, τὸ ὑπὸ τὴν Γαλλίαν.
5. Τοῦ Ναμούρκου, ἢ Νάμουρ, de Namur, τὸ ὑπὸ τὴν Ἀυςρίαν.
6. Τὸ Δουκάτον τοῦ Λιμβούργου, de Limbourg, τὸ ὑπὸ τὴν αὐτὴν ἐξουσίαν.
7. Τοῦ Λουξεμβούργου, de Luxembourg, οὗ τὸ μὲν μεῖζον μέρος τῇ Ἀυςρίᾳ, τὸ δὲ λοιπὸν τῇ Γαλλίᾳ ὑπόκειται.
8. Τῆς Γουελδρίας, de Gueldre, ἧς μέρος μὲν ὑπὸ τὴν Ἀυςρίαν ἐςὶ, μέρος δὲ ὑπὸ τὴν Πρυσσίαν, καὶ ὑπὸ τὴν τῶν Οὐνίτων ἐπαρχιῶν Ἀριςοκρατίαν.
9. Τὴν Ἡγεμονίαν τῆς Μεχλίνης, ἢ Μαλίνων, de Malines, τὴν ὑπὸ τὴν Ἀυςρίαν, καὶ
10. Τὸ Μαρκιωνάτον τῆς Ἀντουερπίας, ἢ Ἄνουερς, d'Anuers, τὸ ὑπὸ τὸ αὐτὸ κράτος.

Ἔςι δὲ ἥτε Μεχλίνη καὶ ἡ Ἀντουερπία μέρος τοῦ Δουκάτου τῆς Βαρβαντίας, Brabant. (α)

§. 316. Πόλεις ἐν ταῖς Κατωχώραις πρωτεύουσαι 11.

1. Αἱ Βρουξέλλαι, (β) Bruxelles, πρωτεύουσα τοῦ τῆς Βαρβαντίας Δουκάτου, ἰδίως δὲ πασῶν τῶν Κατωχωρῶν τῶν Ἀυςριακῶν.
2. Τὸ Γάνδαυον, ἢ Γάνδ, Gand, τοῦ τῆς Φλανδρίας Κομητάτου.
3. Ἡ Μόνς, Mons, τῆς Ἀυςριακῆς Ἀννωνίας.

---

(α) *Ἅπασαι αἱ τῇ Ἀυςρίᾳ ὑποκείμεναι πόλεις, κατὰ τὰς συνθήκας τῆς Λουνεβίλ ὑπετάγησαν τῇ Γαλλίᾳ· ὅρα τὴν τοῦ Σ. Εκδ. σημείωσιν.*

(β) *Βρυσσέλλαι.*

4. Τὸ Ἀτρέβατον, ἢ Ἄῤῥας, Arras, τοῦ Κομητάτου τῆς Ἀρτησίας.

5. Τὸ Νάμυρ, τῷ ὁμωνύμῳ αὐτῷ Κομητάτῳ.

6. Τὸ Λίμβυργον, ὁμοίως.

7. Τὸ Λυξέμβυργον, ὡσαύτως.

8. Ἡ Γυελδρία, παραπλησίως.

9. Ἡ Μαλίνη, παρεμφερῶς.

10 Ἡ Ἀντυερπία, τῷ ὁμωνύμῳ αὐτῇ Μαρκιωνάτῳ, καὶ

11. Τὸ Λιλλέριον, ἢ Λίλλερ, Liller, πρωτεῦον πασῶν τῶν Γαλλικῶν Κατωχωρῶν.

§. 317. Πόλεις δὲ τῶν Κατωχωρῶν παραθαλάσσιοι, αἱ ἐπισημότεραι 4.

1. Ἡ Ἀντυερπία, περὶ ἧς εἴρηται.

2. Ἡ Δυνκέρκα. Dunkerque, ἡ ἐν τῇ Φλανδίᾳ, καὶ ὑπὸ την Γαλλίαν.

3. Ὁ Νέος Λιμὴν, ἢ Νοβυσπόρτος, Nieupoort, ὁ ἐν τῇ Φλανδρίᾳ, καὶ ὑπὸ τὴν Αὐστρίαν.

4 Ἡ Ὀστένδα, Ostende, ὁμοίως.

§. 318. Ποταμοὶ δὲ οἱ μείζονες 4.

1. Ὁ Σκάλδις, ἢ Ἐσκάουτ. Escaut, ὁ τὴν Φλανδρίαν ποτίζων, καὶ εἰς τὴν Γερμανικὴν καταδυόμενος θάλασσαν.

2. Ὁ Μῶσας, Mause, ὁ τὰς ἀρχὰς ἀπὸ τῆς Γαλλίας ἔχων, καὶ τὸ Λυξέμβυργον, καὶ Ναμὺρ ποτίζων, καὶ εἰς τὸν Ὠκεανὸν εἰσρέων.

3. Ὁ Σάβις, ἢ Σάμβρε, la Sambre, ὁ ἐκ τῆς Πικαρδίας (ὅρ. §. 245,) ἐκβλύζων καὶ τῷ Μώσᾳ κατὰ τὸ Ναμὺρ συμπίπτων.

4. Ὁ Λὺς, Lys, ἢ Λέγια, ὁ ἐκ τῆς Ἀρτησίας πηγάζων, καὶ τῷ Σκάλδει κατὰ τὸ Γάνδ συμπίπτων.

§. 319. Πέρατα τῶν Κατωχωρῶν τὰ μὲν βόρεια, ἡ τῶν Οὐνίτων ἐπαρχιῶν Ἀριστοκρατία· τὰ δὲ Ἀνατολικὰ, ἡ Γερμανία· τὰ δὲ Μεσημβρινὰ ἡ Γαλλία· τὰ δὲ δυτικὰ ὁ Ὠκεανός.

§. 320. Τῶν δὲ ἐπ' εὐθείας ἐκτάσεων αὐτῶν, ἡ μὲν κατὰ μῆκος, ἡ ἀπὸ Ἀνατολῆς πρὸς Δύσιν μίλια 43, ἡ δὲ μεγίστη, ἡ κατὰ πλάτος, ἡ ἀπὸ Μεσημβρίας, πρὸς Ἄρκτον 37.

§. 321. Τὸ μὲν Μῆκος τῶν Κατωχωρῶν κεῖται ὑπὸ τὴν 19 μοῖραν, καὶ λήγει εἰς τὴν 24· τὸ δὲ πλάτος, ὑπὸ 48½, εἰς τὴν 51½.

## ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

## Περὶ τῆς Ἀριστοκρατίας τῶν ἑπτὰ Οὐνίτων ἐπαρχιῶν, εἴτουν περὶ τῆς Ὁλλανδίας.

§. 322. Τὰς ἑπτὰ Οὐνίτας, ἤτοι συνηνωμένας, ἐπαρχίας, Ἀριστοκρατίαν τῆς Ὁλλανδίας καλεῖν εἰώθασι.

§. 323. Κάθυγρον καὶ πεπυκνωμένον ἀέρα ἔχει ἡ Ὁλλανδία, καὶ ἑλώδη γῆν, ἀλλὰ διακεκοσμένη ἐστὶ τῷ ἐν τοῖς ἀγροῖς τῶν οἰκιῶν πλήθει, ἀρεστήν τε καὶ τερπνὴν αὐτὴν ἀναδεικνυουσῶν· πόλεις δέ εἰσιν ἐν αὐτῇ μεγάλαι τε καὶ καλαὶ, ῥύαξι ποτιζόμεναι, αἵτινες δένδροις ταῖς αὐτῶν ὄχθαις πεφυτευμένοις περατοῦνται.

§. 324. Αἱ εἰρημέναι ἑπτὰ ἐπαρχίαι μετὰ τὴν ἐν ἔτει 1579 μεταξὺ ἀλλήλων γενομένην ἕνωσιν, Ἀριστοκρατίαν συνεκρότησαν, Ἀριστοκρατικῶς ἅμα τε καὶ Δημοκρατικῶς διοικουμένην. (α) ἑκάστη γὰρ ἐπαρχία ἀνωτάτη

(α) Τῷ 1794 κυριευθεῖσα ὑπὸ τῶν Γάλλων, ἐγνωρίσθη ὑπὸ τὸ Ὄνομα Δημοκρατία Βαταυική· ἐκτίθεται τὰ νῦν κατὰ

μὲν ἐςι δεσποτεία, κατὰ τὰς ἰδίας νόμας, ϗ τὰ ἔθη διοικυμένη, ἑτέρα δὲ ὑπερτάτη ὑπείκει, ἣν τὸ συνέδριον τῶν Λογάδων πασῶν τῶν ἐπαρχιῶν συνίςησι. ϗ πᾶσα δὲ πόλις μικράτις ἐςὶν Ἀριςοκρατία, ὑπὸ γερυσίας διϊθυνομένη, καλυμένης βυλευτήριον τῆς πόλεως, ᾧ ὑπόκεινται τὰ συνέδρια τῶν ἀρχιπολιτῶν, des bourguemâitres, ϗ τῶν πολιτῶν, ϗ ἐξυσίαν ἔχει ὑπερτάτην τῦ ἐκτελεῖν πάντα, ὅσα ὑπαγορεύυσι τῆς δικαιοσύνης οἱ νόμοι, μετέχυσα ϗ τῦ δικαιώματος τῦ ποιεῖν εἰρήνην, ἢ ἐγείρειν πόλεμον, κατὰ δὲ πάντα τὰ ἄλλα τῷ τῆς ἰδίας ἐπαρχίας ὑπόκειται κράτει.

§. 325. Πῶς δὲ τοσαύτας Ἀριςοκρατίας τε ϗ ἡγεμονίας, ὡς ἓν σῶμα οἱ λοιποὶ Βασιλεῖς ϗ ἡγεμόνες λογίζονται; διοικεῖται τὸ κοινὸν τῆς Ἀριςοκρατίας σῶμα μικρῦ δεῖν ὁμοίων ταῖς ἐπαρχίαις, ἐξ ὧν σύγκειται. παρίςησι γὰρ τὴν ὑπερτάτην ἐξυσίαν τὸ καθολικὸν Συνέδριον τῶν ὑπὸ τῶν ἐπαρχιῶν ϗ πόλεων ἀποςελλομένων Λογάδων, οἵτινες καλῦνται, les etats Generaux des provinces unies, εἴτυν οἱ διοικηταὶ οἱ καθολικοὶ τῶν Οὐνίτων ἐπαρχιῶν. τὸ Συνέδριον τῦτο μένει μὲν διαπαντὸς ἐν Ἄγῃ Haye, τῇ πόλει, ὑποδεχόμενον δὲ τὰς πρέσβεις, ϗ τὰς βασιλικὰς ὑπυργὰς, τὰ ὑπ᾽ αὐτῶν προτιθέμενα ἀκύει, ϗ μετὰ τὸ βυλευθῆναι τὰς

---

μῆκος 50 μίλ. ϗ κατὰ πλάτος 45· μεταξὺ τῦ 22 ϗ 25 βαθμῦ τῦ μήκυς, 52 ϗ 54 τῦ πλάτυς· περιέχυσα 992 τετραγ. μίλ. ϗ 2,630,000 ἐγκατοίκυς.

Τὸ Διοικητήριον αὐτῶν συνίςαται ἀπὸ πέντε ἐφόρυς. ὧν ἡ ἐκλογὴ κατ᾽ ἔτος γίνεται ὑπὸ τῦ λαῦ· τὰ δὲ λοιπὰ ἔ[illegible] μεινον κατὰ τὴν πρώτην αὐτῶν κατάςασιν.

Λογάδας μετὰ τῶν ἀνωτέρων αὐτῶν τὰς ἀποκρίσεις δίδωσι. γενομένης δὲ βȣλῆς, ȣ κατ' ἄνδρας, ἀλλὰ κατ' ἀριθμὸν τῶν ἐπαρχιῶν ἡ ψῆφος γίνεται. ἀποςέλλει μὲν γὰρ πᾶσα ἐπαρχία, ὅσȣς ἂν βȣ́λεται Λογάδας· ἀλλ' οἱ ἐκ μιᾶς ἀποςαλέντες ἐπαρχίας, μίαν μόνην ἔχȣσι φωνὴν ϗ ψῆφον. ἑβδομάδα δὲ ἡμερῶν μίαν ἑκάςη τῶν ἐπαρχιῶν προκάθεται· ἡ δὲ τȣ͂ προκαθέζεσθαι τιμὴ τῷ πρώτῳ δίδοται τῶν Λογάδων· πρὸς αὐτὸν δὲ ἔρχονται οἱ ςελλόμενοι τῶν βασιλέων ὑπȣργοὶ, ζητȣ͂ντες ἀκρόασιν. ἔξεςι δὲ ϗ τῷ Σταδȣδερίῳ (ὅρα §. 330) Stadhouder εἰς τὸ Συνέδριον τῶν καθολικῶν παραγενέσθαι Διοικητῶν, τὰ κοινωφελῆ προθήσοντι, ȣ μὴν δ' ȣ̓͂τος ϗ τόπον ἔχει ἐν αὐτῷ ὡρισμένον. καλȣ͂νται δὲ οἱ αὐτοὶ καθολικοὶ Διοικηταὶ, ϗ ὑψηλοὶ, ϗ κραταιοὶ Δεσπόται.

§. 326. Μετὰ τὸ εἰρημένον καθολικὸν Συνέδριον τὰ πρωτεῖα ἔχει τὸ καλȣ́μενον βȣλευτήριον τῆς Διοικήσεως le Conseil d'etat ἐκ τῶν Λογάδων συγκείμενον, τῶν ὑπὸ πασῶν τῶν ἐπαρχιῶν ἀποςελλομένων· ὧν ὁ ἀριθμὸς ὡρισμένος ἐςίν· ἡ μὲν γὰρ Γȣελδρία ἀποςέλλει, 1. ἡ δὲ Ὀλλανδία, 3. ἡ δὲ Ζελανδία, 2. ἡ δὲ Τρισία, 2. ἡ δὲ Γρονίγγα, 2. αἱ ἐπαρχίαι τȣ͂ Οὐτρεχτ, 1. ὁμοίως ϗ αἱ τȣ͂ Ὄβερ, Ὕσσελ, 1. Καὶ ὁ Σταδȣδέριος δὲ ἐν τῷ βȣλευτηρίῳ τȣ́τῳ θρόνον ϗ ψῆφον ἀποφαντικὴν ἔχει. ἔργον δὲ τȣ͂ βȣλευτηρίȣ τὸ ἐκτελεῖν τὰ τῶν Καθολικῶν Διοικητῶν ἐπιτάγματα, τὸ διδόναι ἐφοδιαςικὰ γράμματα, Passeports, τὸ φροντίζειν τῆς προσόδȣ, ϗ τῶν τῆς ἐπικρατείας χρημάτων, τοῦ ςρατȣ͂, τῶν ὀχυρωμάτων, ϗ τῶν ἑξῆς ὁμοίων. ἐν τȣ́τῳ δὲ τῷ βȣλευτηρίῳ ȣ κατ' ἐπαρχίαν, ἀλλὰ κατ' ἄν-

δρα ἡ ψῆφος γίνεται· ἕκαςος δὲ τῶν ἐν αὐτῷ Λογάδων μίαν προκάθηται ἑβδομάδα.

§. 307. Ἑκάςη τῶν ἐπαρχιῶν τὸ ἐπιβάλλον μέρος τῆς ἀνηκέσης αὐτῇ δασμοφορίας κατά γε τὸ δοκῶν αὐτῇ ἁρμόδιον, ἐκ τοῖς οἰκιςαῖς αὐτῆς ἀνάλογον συλλέγεσα, τῷ κοινῷ ἀποςέλλει τῆς Ἀριςοκρατίας ὑποδοχεῖ. ἐς ἄνεισι μὲν ἡ τῆς ἐπικρατείας ὅλης ἐτήσιος πρόσοδος ἐπὶ τὰ 21,000,000· ἔχει δὲ λόγον ἡ ὑπὸ ἑκάςης ἐπαρχίας συνεισφερομένη τῶν χρημάτων ποσότης, πρὸς τὴν ὅλην, ὃν ἕκαςος τῶν ἑξῆς ἀριθμῶν πρὸς τὰ 100 φιορίνια. (1)

(1) Ἴσον μικρῷ δεῖν τὸ φιορίνιον τῷ τῶν Τέρκων Γροσίῳ. οἱ μὲν ὖν πρῶτοι ἐν τοῖς ἀριςεροῖς κείμενοι ἀριθμοὶ φιορίνια ἐμφαίνεσιν· οἱ δὲ δεύτεροι τὰ τέτων εἰκοςημόρια. οἱ δὲ τρίτοι τὰ τῶν δευτέρων δεκατοεκτημόρια.

| | | | |
|---|---|---|---|
| Ἡ μὲν Γυελδρία συνεισφέρει . φ. | 5 — | 11 — | 6 |
| Ἡ δὲ Ὁλλανδία . . . . . . . | 57 — | 14 — | 8 |
| Ἡ δὲ Ζελανδία . . . . . . . | 9 — | 1 — | 10 |
| Τὸ δὲ Οὔτρεχτ . . . . . . . | 5 — | 16 — | 5 |
| Ἡ δὲ Φρισία . . . . . . . . | 11 — | 10 — | 11 |
| Τὸ δὲ Ὄβερ Ὕσσελ . . . . — | 3 — | 10 — | 8 |
| Ἡ δὲ Γρονίγγα σὺν τῷ Ὄμμελανδ- | 5 — | 15 — | 6 |
| Ἡ δὲ τῆς Δρεύτης χώρα . . - | 1 — | 19 — | 10 |

§. 328. Ἔχει δὲ πρὸς τοῖς εἰρημένοις ἡ Ἀριςοκρατία ἔτι δύω μεγάλα Βελευτήρια· ὧν τὸ μὲν la chambre des comptes, ἤτοι δομάτιον ἀναλογισμῶν, καλέμενον, τὸ πρὸ 603 ἐτῶν συςαθὲν, ἐκ δύω Λογάδων ἑκάςης τῶν ἐπαρχιῶν σύγκειται, ὧν ἐνίες κατὰ πᾶν τρίμηνον μεταβάλλεσιν. οἰκονομεῖ δὲ τὰ χρήματα, ἐκ τῆς δημεύσεως ἔχει τὸ δικαίωμα, ἐκ τῷ ἐτάζειν τοὺς,

τῶν καθολικῶν, καὶ μερικῶν χρηματοϋποδοχέων ἀναλογισμοῦ. Τὸ δὲ ἕτερον le Conseil de l'amirauté τὸ ναυτικὸν βουλευτήριόν ἐστιν, ἐπίτε θαλάσσης καὶ ποταμῶν δικαίωμα ἔχον. ἐπειδὰν δὲ οἱ Καθολικοὶ διοικηταὶ ναυτικὸν κελεύσωσι παρασκευασθῆναι στόλον, τὸ μὲν τῆς διοικήσεως Βουλευτήριον τῷ ναυτικῷ βουλευτηρίῳ τὰς ἐπιταγὰς αὐτῶν ἐπιστέλλει· τὸ δὲ τῆς ἐκλογῆς καὶ καθοπλίσεως τῶν νηῶν φροντίζει, τὸ μέγεθος αὐτῶν ὁρίζει καὶ τὴν τάξιν, καταλέγει τοὺς ναύτας, προσδαπανᾷ τὴν ὁρισθεῖσαν τῶν χρημάτων ποσότητα.

§. 329. Διαιρεῖται δὲ τὸ ναυτικὸν βουλευτήριον εἰς πέντε Συνέδρια· ὧν τρία μὲν εἰσὶν ἐν τῇ Ὀλλανδίᾳ, εἶτεν ἓν μὲν ἐν τῷ Ἀμστελοδάμῳ, ἓν δὲ ἐν τῷ Ῥοττερδάμῳ, καὶ ἓν ἐν τῷ Ὅορν κἀντεῦθεν ἐγκεῦσεν· τὸ δὲ τέταρτον ἐν τῷ κατὰ τὴν Ζηλανδίαν Μιδελβούργ· τὸ δὲ πέμπτον ἐν τῇ κατὰ τὴν Φρισίαν Ἀρλίγγεν. Σύγκειται δὲ ἕκαστον τῶν Συνεδρίων ἐκ Λογάδων ἑπτά· ὧν τέσσαρες μὲν ἐκ τῆς ἐπαρχίας εἰσίν, ἐν ᾗ συγκροτεῖται τὸ Συνέδριον, τρεῖς δὲ ὑπὸ τῶν λοιπῶν ἐκλελεγμένοι ἐπαρχιῶν. προκάθηνται δὲ ἐν τῷ Συνεδρίῳ ὁ Ναύαρχος, καὶ ὁ τὸν τόπον αὐτοῦ ἐπέχων, ὁ δὲ δεύτερος τοῦ πρώτου ἀπόντος· ἐπειδὰν οὖν τὰ Συνέδρια τὰς ναῦς καθοπλίσαι ἐπιταχθῶσιν, ἕκαστον ἐν τῷ ἰδίῳ ναυσταθμῷ ἀναλόγως ᾗ ὀφείλει συσκευῇ, αὐτὰς παρασκευάζει. Τὸ μὲν γὰρ τοῦ Ἀμστελοδάμου Συνέδριον τὸ τριτημόριον τῆς ὅλης εὐτρεπίζει συσκευῆς, ἕκαστον δὲ τῶν ἄλλων ἓν ἑκτημόριον.

§. 330. Κεφαλή ἐστιν ὁ Σταδουδέριος τῶν τῆς Ἀριστοκρατίας χερσαίων καὶ θαλασσίων Δυνάμεων, ὑπό τε τὴν ἑαυτοῦ ἐξουσίαν ἔχων αὐτὰς ἐν καιρῷ πολέμου καὶ εἰ-

ρήνης, ϗ ἐπὶ πάντα τὰ ςρατιωτικὰ προβιβάζων ἀξιώματα. ἐκτὸς δὲ τότε, ϗ ἄλλα μεγάλα προνόμια δεδώκασιν αὐτῷ οἱ Καθολικοὶ Διοικηταὶ, διὰ τὰ ὑπὸ τῶν Πριγκίπων τῶν ἐκ τῦ Ἀραυσιωνικῦ, d'Orauge, οἴκυ ὁρμωμένων, παρασχεθέντα τῇ Ἀριςοκρατίᾳ βοηθήματα, ἐν ἀρχῇ τῆς συςάσεως αὐτῆς.

§. 331. Τὸ Καλβινικὸν Θρήσκευμα ἐν ταῖς Οὐνίταις δεσπόζει ἐπαρχίαις. κὐδεὶς τῶν μὴ τῦτο παραδεχομένων διοικητὴς, ἢ ἀξιωματικὸς γενέσθαι δύναται. Πασης ὅμως ἄλλης Θρησκείας οἱ ἐκεῖ κρατῦντες ἀνέχονται· ϗ πάντη ἐλευθέραν ἔχει ἕκαςος τὴν τῦ Θρησκεύειν θέλησιν, ϗ τὴν συνείδησιν.

§. 332. Σοβαροί εἰσιν οἱ Ὀλλανδοὶ ϗ φιλόπονοι ϗ οἰκονομικοὶ, ϗ τῆς ἐμπορίας ϗ ναυτικῆς πάντων τῶν ἐπὶ γῆς ἐθνῶν ἐμπειρότεροι· οἱ αὐτοὶ δέ εἰσιν οἱ ϗ πάντων τῶν Εὐρωπαίων ἀκριβέςερον μελετήσαντες, ἣν ἔχει ἰσχὺν τὸ κέρδος, ἐπί τε τὸ κοινὸν τῶν ἀνθρώπων πολίτευμα, ϗ ἐφ' ἓν ἕκαςον τῶν ἰδιαζόντων μέλος.

§. 333. Ἄνεισιν ὁ τῶν τὰς ἑπτὰ ἐπαρχίας οἰκύντων ἀριθμὸς εἰς 3,000.000· ὧν τὸ τριτημόριον τῆς τῶν Ὀλλανδῶν ἐπαρχίας οἰκήτορες.

§. 334 Τὸ μὲν τὸ ςρατόπεδον αὐτῶν 40,000· ἡ δὲ ναυτικὴ δύναμις, πολεμικαὶ νῆες 80.

§. 335. Εἰς ἑπτὰ ἐπαρχίας διαιρεῖται ἡ ὅλη Ἀριςοκρατία, ἐξ ὧν ϗ σύγκειται, κἂν ἑκάςη αὐτῶν ἰδίαν ἔχῃ διοίκησιν, ϗ ἀνωτάτην ἐξυσίαν.

§. 336. Αἱ ἐπαρχίαι αὗται κατὰ μὲν τὴν τάξιν, ἣν οἱ Λογάδες ἔχυσιν ἐν τοῖς Καθολικοῖς Διοικηταῖς τάττονται ὕτω· πρώτη ἡ τῆς Γυελδρίας, ἅτε δὴ Δυκάτον ὖσα πρότερον· εἶτα ἡ τῆς Ὀλλανδίας, ϗ τῆς

Ζελανδίας, τὰ πρώην Κομητᾶτα· μετ' αὐτὰς δὲ ἡ τῆ Οὔτρεχτ, ἡ τῆς Φρισίας, ἡ τῆ Ὄβερ Ὕσσελ, καὶ ἡ τῆς Γρονίγγης, Δεσποτεῖαι ὄντες· κατὰ δὲ τοὺς Γεωγράφους τάττονται οὕτως. (α)

Α'. Η' ἐπαρχία τῆς Ζελανδίας ἐκ νήσων 7 συγκειμένης.

1. Τῆς Βαλχερίας, Walcheren.
2. Νοτίας Βεβελανδίας, Sud-beveland.
3. Βολφαρτοδυκίας, Wolfartsdyx.
4. Βορείας Βευελανδίας, Nord-beveland.
5. Σκαλδίας, ἢ Σχόβεν, Schouwen.

---

(α) Νεωτερικὴ διαίρεσις τῆς Βαταυικῆς Δημοκρατίας, ἤτοι τῆς Ὀλλάνδας εἰς ὀκτὼ μοίρας Departements.

α'. *Μοῖρα τῦ Ἔμς*, περιλαμβάνουσα τὴν ἐπαρχίαν τῆς *Γρονίγγης* καὶ τῆς *Φρισίας*, ἧς πρωτεύουσα ἡ *Λευβάρδεν*.

β'. *Τῦ Παλαιῦ Ὕσσελ*, περιλαμβάνουσα τὴν ἐπαρχίαν τῦ Ὄβερ-Ὕσσελ, καὶ ἓν μέρος τῆς *Γελδρίας*, καὶ τῦ *Ζύτφεν*· ἧς πρωτεύουσα *Ζβόλ*.

γ'. *Τῦ Ῥήνου*, περιέχει τὸ ἐπίλοιπον τῆς *Γελδρίας*, τοῦ *Ζύτφεν*, καὶ ἓν μέρος τῦ *Οὔτρεχτ*, ἧς πρωτεύουσα τὸ *Ἄρνχεϊμ*.

δ'. *Τῦ Ἄμςελ*, περιέχει τὴν ἐπαρχίαν τῆς Ὀλλανδίας, ἧς πρωτεύουσα τὸ Ἄμςερδαμ.

ε'. *Τῦ Τέξελ*, περιέχει ὅλον τὸ βόρειον, καὶ τὸ μεσημβρινὸν μέρος τῆς ἐπαρχίας *Ὀλλανδίας*, ἕως εἰς τὴν *Λέϋδα* ἧς πρωτεύουσα τὸ Ἄλκμαρ.

ς'. *Τῦ Δέλφτ*, περιέχει τὸ λοιπὸν τῆς μεσημβρινῆς Ὀλλανδίας, καὶ τῦ *Οὔτρεχτ*, ἧς πρωτ. ἡ *Δέλφτ*.

ζ'. *Τῦ Δόμμελ*, περιλαμβάνουσα τὸ ἀνατολικὸν μέρος τοῦ Ὀλλανδικῦ *Βραβάντ*, ἧς πρωτεύ. *Βοὰ-λὲ Δὺκ* Bois-le-Duc.

η'. *Τῆς Ἐσκὼ*, καὶ τῆς *Μέσ*. περιλαμβάνουσα τὸ δυτικὸν μέρος τῦ Ὀλλανδ. *Βραβάντ*, καὶ τὴν ἐπαρχίαν τῆς Ζελανδίας· ἧς πρωτεύουσα τὸ *Μίδδελβεργ*.

6. Τόλης, Tholan, ϗ
7. Φιλιπολανδίας, Philipsland.

Β΄. Ἡ ἐπαρχία τῆς Ὀλλανδίας, ἡ διαιρουμένη εἰς δύω.

1. Εἰς Ὀλλανδίαν μεσημβρινὴν, Sude-Hollande, ϗ
2. Ὀλλανδίαν Βόρειον, ἢ Βεςφρισίαν, Westfrise, ὑπὸ τῇ Σωρῇ τῇ καλουμένῃ Σπάρενδαμ.

Γ΄. Ἡ ἐπαρχία τῇ Οὔτρεχτ, Utrecht, ἢ Οὐλτραϊέκτου.

Δ΄. Ἡ ἐπαρχία τῆς Γυελδρίας, de Gueldre, ἡ διαιρουμένη.

1. Εἰς τὴν τοποθεσίαν τῇ Νοϊομάγυ, ἢ Νιμέγυε, de Nimague.
2. Εἰς τὸ Κομητάτον τῆς Ζυτφανίας, ἢ Ζύτφεν, de Zutphen, ϗ
3. Εἰς τὴν τοποθεσίαν τῆς Ουελαβίας, ἢ Οὐέλαυ, de Velau.

Ε΄. Ἡ ἐπαρχία τῇ Ὄβερ Ὕσσελ, Oewr-Yssel, ἢ Τρανσιλυάνης, τῆς ὑποδιαιρημένης.

1. Εἰς τὴν τοποθεσίαν τῆς Σαλλανδίας, de Sallande.
2. — τῆς Τβεντίας, de Twente, ϗ
3 — τῆς Βολλενοβίας, Volenhove.

ς΄. Ἡ ἐπαρχία τῆς Φρισίας, ὁμοίως ὑποδιαιρουμένη εἰς μέρη 3.

1. Εἰς τὴν χώραν τῆς Ὀςεργοβίας, Ostergow.
2. — τῆς Βεςεργοβίας, Westergow, ϗ
— Σευενβολδενίας, Seyenwolden.

Ζ΄. Ἡ ἐπαρχία τῆς Γρονίγγης ϗ Ὀμμελανδίας, ἢ Σταδενλανδίας, Groningue et Ommalande ou Stad-enlande.

§. 337. Ἡ ταῖς ἑπτὰ Οὐνίταις ἐπαρχίαις συνομῶτις μὲν χώρα μία.

1. Ἡ Δρεντία, Drente, ἡγεμονία ἐστί.

Ὑποκείμεναι δὲ αὐταῖς 2.

1. Ἡ Βαρβανδία ἡ Ὁλλανδική, le Barbande Hollandois, καὶ

2. Ἡ Φλανδρία ἡ Ὁλλανδική, la Flandre Hollandoise· χῶραι κτηταὶ, τῆς κοινότητος χῶραι καλούμεναι, καὶ ὑπὸ τὴν διοίκησιν ἦσαι τῶν Καθολικῶν Διοικητῶν.

§. 338. Πόλεις δὲ πρωτεύουσαι ἐν ταῖς ἑπτὰ Οὐνίταις ἐπαρχίαις 9.

Ἐν μὲν τῇ Ὁλλανδίᾳ.

1. Τὸ Ἀμστελόδαμον, (Amsterdam.) πόλις ἀξιόλογος καὶ μᾶλλον πολυάνθρωπος, καὶ πλουσιωτέρα τῶν ἄλλων.

2. Ἡ Ἄγα, ἢ Ἀΰε, la Haye, ἐν ᾗ τὸ Συνέδριον τῶν Καθολικῶν Διοικητῶν. (α)

Μᾶλλον δὲ εὔλογον πρώτας τῶν ἑπτὰ Οὐνίτων ἐπαρχιῶν ἡγεῖσθαι τὰς πόλεις τὰς τὴν πρώτην ἐχούσας ψῆφον ἐν τοῖς ὑπὲρ τῆς κοινῆς Διοικήσεως Συνεδρίοις τοῖς ἐν ἑκάστῃ ἐπαρχίᾳ συγκροτουμένοις· εἰσὶ δὲ αἱ πόλεις αὗται, αἱ ἑξῆς.

3. Τὸ Μιδέλβουργον, Middelbourg, ἐν τῇ Ζελανδίᾳ.

4. Τὸ Δόρτ, Dort, ἢ Δορδρέχτ, Dordrecht, ἐν τῇ Ὁλλανδίᾳ.

5. Τὸ Οὔτρεχτ ἐν τῇ ὁμωνύμῳ αὐτῷ ἐπαρχίᾳ.

6. Τὸ Νιμέγυε, Nimegue, ἐν τῇ Γυελδρίᾳ.

---

(α) Καὶ τὰ νῦν πρωτεύουσα ἁπάσης τῆς Δημοκρατίας.

7. Ἡ Δευεντρία, ἢ Δευέντερ, Deventer, ἐν τῷ Ὀβερ Ὑσσελ.
8. Ἡ Λεοβαρδία, Leuvarde, ἐν τῇ φρισίᾳ ϗ
9. Ἡ Γρονίγγυα, Groningue, ἐν τῇ ὁμωνύμῳ αὐτῇ ἐπαρχίᾳ.

§. 339. Πόλεις δὲ παραθαλάσσιοι τῶν αὐτῶν ἐπαρχιῶν 16.

Ἐν μὲν τῇ Ζελανδίᾳ.

1. Ἡ Οὐλισίγγα, ἢ Φλεσίγγυε, Flesingue.
2. Τὸ Μιδέλβεργον, τὸ προειρημένον (ὅρ. §. 335)
3. Ἡ Οὐέερε, ἢ Βέερ, Veer, ϗ
4. Ἡ Ζιερικζία, Zierichzée.

Ἐν δὲ τῇ Μεσημβρινῇ Ὀλλανδίᾳ.

5. Ἡ Ἑλλεβετφλεύς, Hellevoetfluis.
6. Τὸ Δορδρέχτ, τὸ προειρημένον (ὅρ. §. 338.)
7. Τὸ Ῥοτερόδαμον, ϗ
8. Τὸ Ἀμστερδαμων (ὅρ. §. 338.)

Ἐν δὲ τῇ Βεστφρισίᾳ.

9. Τὸ Μοναχόδαμον, ἢ Μοννικενδὰμ, Monikendam.
10. Ἡ Ἔδαμ, Edam.
11. Ἡ Ὅορν, Hoorn.
12. Ἡ Ἐγγυΐζεν, Encuizen, ϗ
23. Ἡ Μεδενβλὶκ, Medenblik.

Ἐν δὲ τῇ Φρισίᾳ.

14. Ἡ Σταβέρα, ἢ Στάβερεν, Staveren.
15. Ἡ Ἰνδελοπία, ἢ Ἰνδελόπεν, Hindelopen, ϗ
16. Ἡ Ἁρλίγγα, ἢ Ἁρλίγγυε, Harlingue.

§. 340. Εἰσὶ δὲ ϗ ἄλλαι πόλεις ἐν ταύτῃ τῇ Ἀριστοκρατίᾳ ἐπίσημοι 16.

Ἐν μὲν τῇ Βαρβανδίᾳ τῇ Ὀλλανδικῇ.

1. Ἡ Σιλβαδέκις, Bois-le-duc.
2. Ἡ Βρέδα, Breda.
Ἐν δὲ τῇ Ὀλλανδικῇ Φλανδρίᾳ.
3. Αἱ Σλῦσαι, ἢ Σλόϊς, Sluis, ἢ Ἐκλῦσα, Ecluse.
Ἐν δὲ τῇ Μεσημβρινῇ Ὀλλανδίᾳ.
4. Τὸ Δέλφι, ἢ Δέλφτ, Delft.
5. Ἡ Γῦδα, Gouda, ἢ Τέργοβ, Kergow.
6. Ἡ Λεύδα, Leyde, ἢ Λούγδανον τῶν Βατάυων, ϗ
7. Τὸ Ἁρλέμιον, Harlem.
Ἐν δὲ τῇ Βορείῳ Ὀλλανδίᾳ, ἢ Βεςφρισίᾳ.
8. Ἡ Ἀλκμααρία, Alkmaar.
Ἐν δὲ τῇ τῦ Οὔτρεχτ ἐπαρχίᾳ.
9. Ἡ Ἀμερσφορτία, Amersfort.
Ἐν δὲ τῇ Γυελδρίᾳ.
10. Ἡ Ἀρναλδιβίλλα, ἢ Ἄνερμ, Arnhem, ϗ
11. Ἡ Ζυτφανία, ἢ Ζύτφεν, Zutphen.
Ἐν δὲ τῇ τῦ Ὄβερ Ὕσσελ ἐπαρχίᾳ.
12. Ἡ Καμπένα, ἢ Κάμπεν, Campen.
13. Ἡ Ζααβόλα, ἢ Ζβόλ, Zwol.
Ἐν δὲ τῇ Φρισίᾳ.
14. Ἡ Φρανεκυέρα, ἢ Φράνεκερ, Franeker, ϗ
15. Ἡ Σνεεκία, Sneek.
Ἐν δὲ τῇ Δρευτίᾳ.
16. Ἡ Κοβορδία, Coevorden, πόλις ὀχυρά. (α)

§. 341. Οἱ δὲ μείζονες ποταμοὶ 7.

1. Ὁ Ῥῆνος, Rhin, ὁ τὸ Δορδρέχτ ποτίζων, ϗ διὰ τῆς Λεύδας εἰς τὸν Ὠκεανὸν εἰσρέων (ὅρα §. 271.)
2. Ὁ Μῶσας, Meuse, ὁ τὴν Γυελδρίαν ποτίζων (ὅρ. §. 318.)

(α) Ἔχει ἡ Ὀλλάνδα 113 πόλεις ϗ 1,400 χώρας.

3. Ο' Βαάλ, Waal, ὁ διὰ τῆς ἐν τῇ Γελδρίᾳ πόλεως Νιμέγυε διιών.
4. Ο' Μέρβιος, Merwa, ἢ Μερβέδος, Merwede, ὁ τὴν Μεσημβρινὴν Ὁλλανδίαν ποτίζων.
5. Ο' Λέκ, Leck, ὁμοίως.
6. Ο' Οὐέχτ, ἢ Βέχτ, Vecht, ὁ τὴν ἐπαρχίαν τοῦ Οὔτρεχτ, καὶ τὴν ἐν αὐτῷ προτεύουσαν πόλιν Οὔτρεχτ ποτίζων, καὶ
7. Ο' Ὕσσελ, Yssel, ἢ Ἴσαλας ὁ ἐν τῇ Γερμανίᾳ τὰς ἀρχὰς ἔχων, καὶ τὴν Γελδρίαν καὶ τὴν Ὄβερ Ὕσσελ ἀφορίζων, καὶ εἰς τὴν Ζυλδερζέαν λίμνην καταδυόμενος.

§. 342. Λίμναι δὲ, ἢ μεγάλαι ὑδάτων Συναγωγαὶ 6.

1. Η Ζυλδερζέα, Zuldcrzee, ἡ περατουμένη ὑπὸ τῆς Ὁλλανδίας, τῇ Οὔτρεχτ, τῆς Γελδρίας, τῇ Ὄβερ Ὕσσελ καὶ τῆς Φρισίας.
2. Η' Ἀρλεμία, Harlem, ἡ ἐν τῇ Μεσημβρινῇ Ὁλλανδίᾳ.
3. Η' Βιεσβόχ, Biesboch, ἡ πρὸς τὸ πέρας τῆς μεσημβρινῆς Ὁλλανδίας.
4. Η' Δολλάρτ, Dollart, ἡ ἐν τῇ Γρονίγγα.
5. Ο' περιφανὴς λιμενώδης τόπος Τέξελ, du Texel, ὁ τῇ Ζυλδερζέᾳ συνελόμενος.
6. Η' Βάδεν, Waden, ἡ μεταξὺ τῆς Φρισίας καὶ τῶν νήσων Σχελλιγγίας καὶ Ἀμελανδίας.

§. 343. Νῆσοι δὲ ταῖς ἑπτὰ Οὐνίταις ἐπαρχίαις ὑποκείμεναι, ἐκτὸς τῶν ἑπτὰ, ἐξ ὧν ἡ Ζελανδία σύγκειται 6.

Αἱ μὲν κατὰ Μεσημβρίαν.

1. Η' Γυρέα, Gourée.

2. Ἡ Ὀβερφλακκία, Overflakkee.
3. Ἡ χώρα τῦ Οὐόορν, Uoorn, ϗ Πύττεν, Putten, ϗ Βεϋερλάνδ, Beyerland, ϗ ἡ χώρα τῦ Στεΰεν, Steyen, ϗ
4. Ἡ Ὑσσελμονδία, Ysselmondi.
Αἱ δὲ κατὰ Βορρᾶν, αἱ ὑπὸ τὴν Ὁλλανδίαν.
5. Ἡ Τέξελ, Texel.
6. Ἡ Οὐΐελάνδ, Uieland.
7. Ἡ Σχελιγγία, Schelling.
8. Ἡ Ἀμελανδία, Ameland, ϗ
9. Ἡ Σχιερμοννίκοογ, Schiermonnikoog.
Αἱ δὲ ἐν τῇ Ζυΐβερζέᾳ.
10. Ἡ Βιερίγγυα, Wieringue.
11. Ἡ Οὖρκ, ἢ Urk.
12. Ἡ Σχοκλάνδ, Schokland, ἢ Ἔνς, Ens, ἢ Ἐμμελοόρτ, Emmeloort, ϗ
13. Ἡ Μάρκεν, Marken.

§. 344. Περατοῦ τὰς Οὐνίτας ἐπαρχίας, κατὰ μὲν Ἀνατολὰς, ἡ Γερμανία· κατὰ δὲ Μεσημβρίαν, αἱ ὑπὸ τὴν Αὐςρίαν Κατωχῶραι· κατὰ δὲ Δύσιν ϗ Βορρᾶν, ὁ Βόρειος Ὠκεανός.

§. 345. Τῶν δὲ ἐπ' εὐθείας ἐκτάσεων αὐτῶν, ἡ μὲν μεγίςη, ἡ κατὰ μῆκος, ἡ ἀπὸ Ἀνατολῶν πρὸς Δυσμὰς ἴση περίπυ 30 μιλίοις· ἡ δὲ κατὰ πλάτος, ἡ ἀπὸ Μεσημβρίας πρὸς Βορρᾶν, μικρῦ δεῖν 30.

§. 346. Τὸ μὲν Μῆκος ὑτῶν ἄρχεται μετὰ τὴν 21 μοῖραν, λήγει δὲ εἰς τὴν ς· τὸ δὲ πλάτος μετὰ τὴν 51½, εἰς τὴν 53½ λήγει.

## ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

### Περὶ τῆς μεγάλης Βρετανίας. (α)

§. 347. Ὑπὸ τὴν τῶν Ῥωμαίων ἐξυσίαν ἦν ἡ μεγάλη Βρετανία ἀπὸ τῶν ἡμερῶν Ἰυλίυ τῦ Καίσαρος τῦ αὐτὴν καθυποτάξαντος, (β) ἕως τῦ 440, ἀπὸ Χριςῦ ἔτυς· οἱ Πίκται δὲ κατ᾽ ἐκεῖνον τὸν καιρὸν ϗ οἱ Σκῶτοι κατὰ τῆς Ῥωμαϊκῆς ἐπαναςάντες ἀρχῆς, συμμάχυς μετεκαλέσαντο τὺς ἐκ τῆς Γερμανίας ὁρμωμένυς Ἄγγλυς ϗ Σάξονας. οἵτινες τὺς Ἰθαγενεῖς ἐξώσαντες, ϗ τῆς Βρετανίας εἰς πολλὰς μεμερισμένης ἡγεμονίας, καταχρατήσαντες, ἐν αὐτῇ κατῴκησαν. μετὰ δὲ τὸ 1658 ἔτος, μία συνέςη ἡ Βασιλεία τῆς Βρετανίας, ἐκ τριῶν συγκειμένη Βασιλειῶν.

1. Τῆς Ἀγγλίας.
2. Τῆς Σκωτίας, ϗ
3. Τῆς Ἰρλανδίας, τῆς ϗ Ἰβερνίας.

§. 348. Εἰς δύω τὸ παλαιὸν διῃρημένη ἦν ἡ Βρετανία, ἡ ϗ Ἀλβίωνος νῆσος καλυμένη, εἰς μείζονα, τὸ μεσημβρινὸν αὐτῆς μέρος ἦσαν, ϗ εἰς ἐλάττονα, ἥτις ἐςὶ τὸ βόρειον. τύτων ἡ μὲν μείζων ἐςὶν ἡ νῦν Ἀγγλία καλυμένη, ἡ δὲ ἐλάσσων, ἡ Σκωτία, ἡ τὸ πάλαι Καληδονία λεγομένη.

---

(α) Ἤτοι περὶ τῶν Βρετανικῶν Νήσων.

(β) Γάϊος Καῖσαρ, ὁ διὰ τὰς πράξεις ἐπονομασθεὶς Θεός, πρῶτος τῶν μνημονευομένων ἐχειρώσατο τὴν νῆσον. (τὴν Βρετανικὴν) ϗ τὺς Βρετανὺς καταπολεμήσας, ἠνάγκασε τελεῖν ὡρισμένυς φόρυς. Διόδ. Σικελ: βιβ. Ε'. σελ. 346. Ὅρα ἔτι αὐτόθι ϗ περὶ ἀρχαιολογίας αὐτῶν, ϗ Στράβ. βιβ. Δ. σελ. 199.

§. 349. Τῆς Ἀγγλίας ὁ μὲν ἀὴρ εὔκρατος, ἡ δὲ γῆ νομαδικὴ ϗ σπερματοφόρος, ϗ ὀπωροφόρος, ἥμιν δὲ ϗ οἰνοφόρος. Θρεμμάτων δὲ πλουτεῖ ϗ θηριατίμων ζώων, ϗ ἵππους τρέφει πολυτίμους· ϗ μεταλλῖτις δέ ἐστι, πολὺν ἐμπεριέχουσα ϗ ἐκλεκτὸν ὀρύχαλκον, ϗ ἰχθύων δὲ πλῆθος ἐν τῇ Ἀγγλίᾳ.

§. 350. Τῆς Σκωτίας ψυχρὸς μὲν ϗ ἰσοστάσιος ὁ ἀὴρ, ὀλιγόκαρπος δὲ ἡ γῆ, πλῆθος ὀρυκτῶν ἀνθράκων ἐμπεριέχουσα γαιωδῶν.

§. 351. Τῆς δὲ Ἰρλανδίας νήσου, ἥτις ϗ Ἴρις, ϗ Ἰέρνη, ϗ ἐλάσσων Βρεταννία πάλαι ἐκαλεῖτο, ὁ μὲν ἀὴρ εὔκρατος, καθάπερ ϗ ὁ τῆς Ἀγγλίας, ἡ δὲ γῆ νομαδική τε, ϗ ξυλοφόρος ὑπὲρ πᾶσαν ἄλλην. τιμῶνται δὲ οἱ βόες αὐτῆς, ὥσπερ ϗ οἱ τῆς Ἀγγλίας ἵπποι.

§. Μοναρχικὸν μὲν ἐστὶ τὸ ἐν τῇ Ἀγγλίᾳ διοίκημα, ὑποστέλλεται δὲ ἡ τοῦ Βασιλέως ἐξουσία ὑπὸ τῷ καλουμένῳ Παρλαμέντῳ. (Συνέδριον τοῦτο Κριτῶν, ὑπερτάτην ἐχόντων ἐξουσίαν.) ὅτε μὲν γὰρ ἤτοι νομοθετῆσαί τι δεήσει, ἢ φορολογῆσαι, ἐκτὸς τῆς διατεταγμένης δασμοφορίας, τότε ϗ ἡ τοῦ Παρλαμέντου ἀπαιτεῖται συγκατάθεσις. διαδέχονται δὲ τῆς βασιλείας τὸ στέμμα τὰ τέκνα, οὐ μόνον τὰ ἄῤῥενα, ἀλλὰ ϗ τὰ θήλεα τῇ τῶν ἀῤῥένων ἐλλείψει.

§. 353. Βασιλείαν μέν ποτε αὐτὴ καθ' ἑαυτὴν ἡ Σκωτία συνίστη· κατὰ δὲ τὸ 1706 ἔτος, διὰ συμφωνίας ἄχρι τῆς σήμερον διατηρουμένης, τῇ Ἀγγλίᾳ συνηνώθη. μία δὲ ἐξ αὐτῶν συνεκροτήθη Βασιλεία, μεγάλη Βρετανία καλουμένη.

§. 354. Ὁ δὲ τῆς Ἰρλανδίας Ἡγεμὼν, τόπον Βασιλέως ἐπέχων, βασιλικὴν ἔχει ἐξουσίαν. ὀφείλει

ἐς τοῖς τῦ ὅλυ Βασιλείυ νόμοις ὑπείκειν, ϗ ταῖς τῦ Παρλαμέντυ ἀποφάσεσι.

§. 355. Τὸ τῶν Ἄγγλων Θρήσκευμα, τὸ ϗ ἐπισκοπικὸν καλύμενον, κατ᾽ ὀ ἐν τὸ λεγομένυ πρεσβυτερικῦ, ἡ Καλβινικῦ διαφέρει, εἰμὴ κατὰ τὴν ἐκκλησιαστικὴν Ἱεραρχίαν διατηρεῖ, ὑπείκεται ὅμως τῇ βασιλικῇ ἐξυσίᾳ. ἐκτὸς δὲ τῆς Ῥωμαικῆς Θρησκεία, πάσας ἄλλας ἀνέχονται οἱ Ἄγγλοι. (α)

§. 356. Οἱ Ἄγγλοι μεγαλόψυχοί εἰσιν, ἐπιδέξιοι, σοβαροὶ μελαγχολικοὶ, πνεῦμα ζῶν ϗ διαβατικὸν ἔχοντες, ἐ προσφυεῖς ταῖς ὑψηλαῖς ἐπιςήμαις· ϗ τεχνῖται δὲ ἄριστοι, ὡς τὰ ὑπ᾽ αὐτῶν μαρτυρεῖ φιλοτεχνήματα. ὁ δὲ χυδαῖος αὐτῶν λαὸς ςασιώδης ὑπὲρ πάντα ἄλλον, ϗ ἄλογος.

§. 357. Οἱ Σκῶτοι Ῥωμαλαῖοί εἰσιν, πολεμικοὶ, πολιτικοὶ, εἰλικρινεῖς, ὀξύνοες. ὅσοι δὲ αὐτῶν τὰ βόρεια τῆς Σκωτίας ἐνοικῦσι μέρη παχυλοί εἰσι τὸν τρόπον, ϗ ἀπηνεῖς νομίζονται.

§. 358. Οἱ Ἰρλανδοὶ μεγαλόψυχοί εἰσι, ῥωμαλαῖοι, εὐπροσήγοροι ϗ γενναῖοι· φίλυς δέ φασιν αὐτὺς εἶναι τῆς μυσικῆς ἐμπαθεῖς ϗ τῆς θήρας. ὁ δὲ κοινὸς αὐτῶν λαὸς ὀκνηρὸς, ϗ ἐκδικητικός.

§. 359. Ο᾽ μὲν ἀριθμὸς τῶν τῆς μεγάλης Βρετανίας οἰκητόρων, (ἐκτὸς τῶν Βρετανῶν τῶν ἐν τῇ Ἀμερικῇ, ϗ ἀλλαχῦ οἰκόντων) ἴσος 8,500,000· τύτων οἱ μὲν τῆς Ἀγγλίας οἰκηταὶ 6,000,000· οἱ δὲ τῆς Σκωτίας 1,266,000· οἱ δὲ τῆς Ἰρλανδίας 1,234,000. (*)

---

(α) Τῷ 1779· ἐδόθη ἡ ἄδεια τῆς Ἀνεξιθρησκείας.

(*) Κατὰ τὴν νεωτέραν ἀναρίθμησιν ἡ Ἀγγλία ἔχει 8,000,000·

§. 360. Ο' μὲν τῆ στρατοπέδε αὐτῶν ἀριθμὸς ἀνειστιν ἐπὶ τὰς 40,000, ὁ δὲ τῆς ναυτικῆς δυνάμεως ὑπερβαίνει τὸν τῶν 250 πολεμικῶν νηῶν.

§. 361. Διαιρεῖται ἡ Ἀγγλία εἰς μέρη πρῶτα, καὶ τῶν ἄλλων κυριώτερα 9· εἰς ἓξ κύκλους καλουμένους, Departemens, (α) εἴτουν μοίρας· εἰς ἓν Πριγκιπάτον, καὶ δύω ἐπαρχίας, τουτέστιν. (β)

1. Εἰς τὴν μοῖραν τῆς χώρας, le Departement du Pays, ἢ Home-circuit.
2. Τῆς Νορφολκίας, de Norfole, ἢ Norfolker-circuit.
3. Τῆ Ὀξωνίου, ἢ Ὀξφορδίας, Oxford, ἢ Oxforder-circuit.
4. Τῆς Μέσης, du milieu, ἢ Mitlands-circuit.
5. Τῆς Δύσεως, de l'Ouest, ἢ Wester-circuit.
6. Τῆ Βορρᾶ, du Nord, ἢ Norder-circuit.
7. Εἰς τὸ Πριγκιπάτον τῆς Γάλλες, de Salles, τῆς τὸ πάλαι Γαμβρίας. (*)
8. Εἰς τὴν ἐπαρχίαν τῆς Μιδλασεξίας, de Midlesex, καὶ
9. Εἰς τὸ Κομετάτον τῆς Κεστρίας, de Chester.

§. 362. Η' δὲ Σκωτία διαιρεῖται εἰς μέρη μόνον 2. (γ)

---

τὸ Πριγκιπάτον τῆς Γάλλες 300,000· ἡ Σκωτία 1,500,000, καὶ ἡ Ἰρλανδία πλέον τῶν 2,000,000· τὸ ὅλον 11,800,000 ἐγκατοίκους.

(α) Arrondissemomens.

(β) Ἡ Ἀγγλία διαιρεῖται ἔτι εἰς 52 Κομιτάτα, ἐξ ὧν τὰ 12 ἀνήκουσι τῇ Γαμβρίᾳ, ἢ Galles.

(*) Τὸ ὄνομα Galles, ἢ Walles, (τὸ G καὶ W παρὰ τοῖς παλαιοῖς μεταβάλλονται ἀλλήλοις) σημαίνει Ξένος.

(γ) Ἡ Σκωτία διαιρεῖται εἰς 33 Κομιτάτα, ἐξ ὧν 15 ἐν τῇ βορείᾳ καὶ 18 ἐν τῇ μεσημβρινῇ.

1. Εἰς Μεσημβρινὴν, καὶ
2. Εἰς Βόῤῥειον Σκωτίαν.

§. 363. Ἡ δὲ Ἰρλανδία εἰς ἐπαρχίας 4.

1. Εἰς τὴν ἐπαρχίαν τοῦ Λεΐνστερ, Leinster, ἢ Λαγγενίας, Langenie. (α)
2. Τοῦ Οὔλστερ, d'Ulster, ἢ Οὐλτονίας, Ultonie. (β)
3. Τῆς Κονακίας, Conacie, (γ) καὶ
4. Τοῦ Μύνστερ, de Munster, ἢ Μομονίας, Momonie. (δ)

§. 364. Πόλεις δὲ ἐν τῇ μεγάλῃ Βρετανίᾳ πρωτεύουσαι 3.

1. Τὸν Λόνδινον, ἢ Λονδίνιον, ἢ Λόνδρα, Londres, Μητρόπολις τῆς Ἀγγλίας, καὶ πάσης τῆς μεγάλης Βρετανίας.
2. Τὸ Ἐδίμβουργον, Edimbourg, τῆς Σκωτίας.
3. Τὸ Δούβλινον, Dublin, τῆς Ἰρλανδίας.

§. 365. Πόλεις δὲ παραλάσσιοι τῆς μεγάλης Βρετανίας 31.

Ἐν μὲν τῇ Ἀγγλίᾳ, κατὰ Ἀνατολάς.

1. Τὸ Λόνδινον, Londres, τὸ προειρημένον.
2. Ἡ Νευκαλία, Newecastle.
3. Τὸ Οὔλλον, Hull.
4. Τὸ Βοστόνιον, Boston.
5. Τὸ Ὑάρμουθ, Yarmuth.
6. Τὸ Οὔσβιον, ἢ Γιππέβικον, ἢ Ἴπσβικ, Ipswich.
7. Τὸ Ἄρβικον, Harwich, καὶ

(α) Ἔχει 12 Κομητάτα.

(β) Ἔχει 9 Κομητάτα.

(γ) Connaugth, ἔχει 5 Κομητάτα.

(δ) Ἔχει 6 Κομητάτα.

8. Τὸ Σανδβίκιον, Sandwich.

Κατὰ δὲ Μεσημβρίαν.

9. Ἡ Δύβρις, ἢ Δύβρεις. Douwres.

10. Τὸ Πορτοσμάγνας, ἢ Πορτσμοὺτ, Portsmuth.

11. Ἡ Ἐξονία, ἢ Ἐξτζέστερ, Excester.

12. Τὸ Πλιμμοὺτ, Plymuch, ϗ

13. Τὸ Φλαμοῦτον, ἢ Φαλμοῦτ, Falmuth.

Κατὰ δὲ Δυσμάς.

14. Τὸ Βριστόλιον, Bristol.

15. Τὸ Λευερποὸλ, Leuerpool, ϗ

16. Τὸ Μιλσορτσάνιον, Milsorthauen.

Ἐν δὲ τῇ Σκωτίᾳ.

17. Τὸ Ἐδιμβοῦργον, Edimbourg, τὸ προειρημένον.

18. Ἡ Στερλίγγα, Sterlings.

19. Ὁ ἅγιος Ἀνδρέας, St. André.

20. Ὁ Μοντροστάρουμ, ἢ Μοντρὸς, Mont-ross.

21. Τὸ Διεδόνον, ἢ Δυνδέε, Dundée.

22. Ἡ Ἀβερδονία, Aberdeer.

23. Τὸ Δωροδῦνον, ἢ Δόρνοχ, Dornoch, ἢ Doruo, ϗ

24. Ἡ Γλασκαῦα, ἢ Γλάσκοβ, Glascow.

Ἐν δὲ τῇ Ἰρλανδίᾳ.

25. Τὸ Δύβλινον, Dublin, τὸ προειρημένον.

26. Τὸ Λονδονδέῤῥι, Londonderry, ἢ Δέῤῥι.

27. Ἡ Γαλίβα, ἢ Γαλέβαϋ, Galoway.

28. Τὸ Λιμέρικον, Limerick.

29. Ἡ Κορκαγία, ἢ Κόρκε, Corcke.

30. Βεξφορδία, Wexford, ϗ

31. Ἡ Βατερφορδία, Wasrerford.

§. 366. Ἔχει δὲ ἡ Ἀγγλία ϗ ἄλλας ἐπισήμους πόλεις 9, αἵ τινες εἰσὶν αἱ ἑξῆ.

1. Ἡ Καντυαρία, ἢ Καντορβερία, Cantorbery.
2. Ἡ Σαλισβυρία, Salisbury.
3. Ἡ Γλοτζεςερία, Glocester, ἢ Κλαυδία Κάςρα.
4. Ἡ Ὀξφορδία, Oxford.
5. Ἡ Καντραβριγία, ἢ Καμβριδγία, Cambridge.
6. Τὸ Νόρβικ, Norwich, ἢ Νορδόβικον.
7. Τὸ Ὑόρκ, Yorch, ἢ Ἐβόρακον.
8. Ἡ Κας ρία, Chester, ꞔ
9. Ἡ Καρμαρτενία, Carmarten, ἢ Μαριδοῦνον ἐν τῇ τῆς Γάλλης, εἴτυν Καμβρίας ἐπαρχίᾳ.

§. 367. Ποταμοὶ δὲ ἐν τῇ μεγάλῃ Βρετανίᾳ οἱ μείζονες 5.

Ἐν μὲν τῇ Ἀγγλίᾳ.

1. Ὁ Τάμεσις, Tamise, ὁ ἐν τῇ Ὀξφορδίᾳ.
2. Ὁ Σαβρίνας, ἢ Σαβέρνας, Saverne, ὁ ἐν τῇ ἐπαρχίᾳ τῆς Γάλλης. ꞔ
3. Ὁ Οὔμβερτ, Humbert, ὁ ἐν τῇ ἐπαρχίᾳ τοῦ Ὑόρκ.

Ἐν δὲ τῇ Σκωτίᾳ.

4. Ὁ Ταῦος, ἢ Ταΰ, Tay, ὁ τὴν Δουδέαν ποτίζων.

Ἐν δὲ τῇ Ἰρλανδίᾳ.

5. Ὁ Σχάνων, Schannon.

§. 368. Κόλποι δὲ ἐν μὲν τῇ Σκωτίᾳ 2.

1. Ὁ Φόρτ, Forth, ἢ Φόρκεας, πρὸς Μεσημβρίαν, ꞔ
2. Ὁ Μυῤῥαΰ, Murray.

Ἐν δὲ τῇ Ἀγγλίᾳ πρὸς Δυσμάς.

Ὁ Βριςόλιος, Bristol, πορθμός.

§. 369 Νῆσοι δὲ αἱ πρώτιςαι τῆς μεγάλης Βρετανίας 12.

Τῆς μὲν Ἀγγλίας 4

1. Ἡ Βίγτ, Wight, ἢ Βέκτις.

2. Αἱ Σοριλίγγυες, Sorilingues, ἢ Σιλίναι.
3. Ἡ Ἀγγλεσεῦ, Anglesey, ἡ ϗ Μόνας καλυμένη, ϗ
4. Ἡ Μὰν, Man, ἢ Μόνα.
Τῆς δὲ Σκωτίας 8
5. Αἱ Ὀρκάδες, Orcades, ϗ αἱ Ἑβρίδες, Hebrides, ἢ Βεςέρναι, Westernes, κατὰ Δυσμάς.
6 Ἡ Σκύα, Skye.
7. Ἡ Λέβισσα, Lewis.
8. Ἡ Οὐϊςία, Vist.
9. Ἡ Μῦλλα, Mull.
10. Ἡ Ἴλα, ἢ Ὕλλα, ἡ ϗ ἐπίδιον καλυμένη.
11. Ἡ Ἰύρα, Jura, ϗ
12. Ἡ Ἀῤῥανίαι, Arran, ἢ ϗ Ἀρία.

§. 370. Ἀκρωτήρια δὲ 7.
Ἐν μὲν τῇ Ἀγγλίᾳ.
1. Τὸ Γυδςὰρτ, Goudstart.
2. Τὸ Λεζάρδ, Lezard, ϗ
3. Τὸ Λάνδσενδ, Lands-end.
Ἐν δὲ τῇ Σκωτίᾳ.
4. Τὸ Δύγγβι, Dungbi.
5. Τὸ Φάρυ, Faro, ϗ
6. Τὸ Γαλλοβάϋ, Galloway, τὸ ϗ Γαλλουιδία.
Ἐν δὲ τῇ Ἰρλανδίᾳ.
7. Τὸ Κλάρον, Clare.

§. 371. Περιορίζεται δὲ ἡ μεγάλη Βρετανία κατὰ μὲν Ἀνατολὰς, ὑπὸ τῦ Βορείυ Ὠκεανῦ· κατὰ δὲ Μεσημβρίαν ὑπὸ τῦ πορθμῦ, τῦ μεταξὺ αὐτῆς, ϗ τῆς Γαλλίας· (ὅρ. §. 203.) κατὰ δὲ Δυσμὰς ὑπὸ τῆς Ἀτλαντικῆς θαλάσσης· κατὰ δὲ Βοῤῥᾶν, ὑπὸ τῆς περὶ τὴν Σκωτίαν θαλάσσης.

§. 372. Τῶν δὲ ἐπ' εὐθείας ἐκτάσεων, τῆς μὲν Ἀγγλίας, ἡ μὲν ἀπὸ Ἀνατολῆς πρὸς Δύσιν, ἡ μετὰ τὴν ἄκραν τῆ Ζὺδ, ἴση μιλίοις περίπε 70· ἡ δὲ ἀπὸ Μεσημβρίας πρὸς Ἄρκτον 80. (α)

Τῆς δὲ Σκωτίας, ἡ μὲν περὶ τὸ μέσον, ἥτις δὲ ἡ μεγίςη ἐςὶ 45, ἡ δὲ ἀπὸ Μεσημβρίας πρὸς Ἄρκτον 55.(β)

Τῆς δὲ Ἰρλανδίας, ἡ μὲν ἀπὸ Ἀνατολῆς πρὸς Δύσιν, ἡ περὶ τὸ μέσον αὐτῆς 40· ἡ δὲ ἀπὸ Μεσημβρίας πρὸς Ἄρκτον 60. (γ)

§. 373. Τῆς μεγάλης Βρετανίας τὸ μὲν Μῆκος κεῖται ὑπὸ τὴν 8 μοῖραν, ϗ ἐκτείνεται ἄχρι τῆς 19. τὸ δὲ πλάτος, ὑπὸ τὴν 50, ἄχρι τῆς 59.

## ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

## Τὰ περὶ τῆς Δανίας, ἤτοι Δανιμάρκας.

§. 374. Ψυχρὸς μὲν ὁ τῆς Δανίας ἀὴρ, ἀλλ' ὑγιεινὸς, ἡ δὲ γῆ νομαδικὴ, ἱπποτρόφος τε, ϗ βοοτρόφος, ϗ ζώων θηρασίμων ϗ ἐλάφων πλήρης· ϗ ἡ ἐν αὐτῇ δὲ ἐμπορία μικροπρεπής ποτε ἔσα, προάγεσθαι νῦν ἤρξατο ἐπὶ τὸ εὐπορώτερον.

§ 375. Ἔςι δὲ ἡ τῆς Δανίας Διοίκησις ἁπλῶς

(α) 125 μίλ. κατὰ μῆκος, ϗ 100 κατὰ πλάτος· 6,300 τετραγωνικὰ μίλ. Τὸ δὲ πλατύτατον τῆ Γάλλες 50 μίλ. κατὰ μῆκος, ϗ 32 κατὰ πλάτος.

(β) 100 μίλ. κατὰ μῆκος, ϗ 50 κατὰ πλάτος, τετραγ. μίλ. 3900.

(γ) 100 μίλ. κατὰ μῆκος, ϗ 60 κατὰ πλάτος, 3,051 τετραγ. μίλια,

μοναρχική· ϗ πρότερον μὲν ἐκλεγόμενος ὁ Βασιλεὺς αὐτῆς προεχειρίζετο, νῦν δὲ κατὰ διαδοχὴν ἡ Βασιλεία προχωρεῖ ϗ ἐπὶ τὰ θήλεα.

§. 376. Αὐτοδέσποτος ἀπ' ἀρχῆς ἄχρι τῆς σήμερον ἡ Δανία διέμεινεν, ἰδίοις ὑπείκουσα Δυνάςαις, ϗ Ἡγεμόσι, ϗ Βασιλεῦσι. μόνον δὲ κατὰ τὸ 856 ἔτος τὴν εἰς χριςὸν πίςιν ὑποδεξαμένη, τῷ θείῳ φωτὶ κατηυγάσθη.

§. 377. Τὰ νῦν δὲ τῇ Λουθήρου οἱ Δάνοι ἕπονται διδασκαλίᾳ, ὑπὸ ἓξ ἐπισκόπων διοικούμενοι. ὁ δὲ νῦν Βασιλεὺς, ὁ Χριςιανὸς ὁ Ζ', πᾶν εἶδος ἐλευθερίας παρέσχετο τοῖς πᾶσαν ἄλλην παραδεχομένοις θρησκείαν.

§. 378. Εὔμορφοί εἰσιν οἱ Δάνοι, ὀξύνοες, εὐπροσήγοροι, φιλότεχνοι, ϗ φιλεπιςήμονες. τὰ δὲ γύναια αὐτῶν ὡραῖα, ϗ τῇ οἰκειακῇ οἰκονομίᾳ ἔκδοτα.

§. 379. Ὁ μὲν ἀριθμὸς τῶν Δάνων ἴσος περίπου 1,229,000· τῶν δὲ Δυνάμεων τῆς Δανίας ὁμοῦ ϗ Νορβεγίας, ἡ μὲν πεζικὴ 60,000· ἡ δὲ ναυτική, νῆες πολεμικαὶ 25. (*)

§. 380. Διαιρεῖται ἡ Δανία εἰς ἐπισκοπὰς ἕξ, ϗ Δουκάτον ἕν, τουτέςιν. (α)

---

(*) *Καὶ 18 φρεγάδας.*

(α) *Τὸ* Βασίλειον *τῆς Δανιμάρκας συνίςαται ἐκ τεσσάρων μερῶν, δηλ. ἀπὸ τὴν Ἰσλανδίαν, ϗ βορείους νήσους, Νορβεγίαν, Δανιμάρκαν κυρίως, ϗ ἀπὸ ἓν μέρος τῆς Γερμανίας.*

Διαίρεσις αὐτῆς.

| Θέσις. | Ἐπαρχίαι. | Πρωτεύουσαι πόλις. |
|---|---|---|
| *Ἐν τῇ Βορείᾳ θαλάσσῃ* . . | *Ἰσλανδία* . . . . | *Σκάλ-χολτ.* |
| | Νορβεγία . . . . | *Χριςιανία.* |
| | *Λαππονία Δανική* . | *Βάρδ ὖς.* |

1. Εἰς τὴν ἐπισκοπὴν τῆς Σεελανδίας, Seeland, νήσου, τῆς ϗ Ζελανδίας.
2. Φιονίας, Fionie, ἢ Φύνεν, Funen, νήσυ.
3. Τῆ Ἀλβύργυ, Albourg.
4. Βιβύργυ, Wibourg.
5. Τῆς Ἀρυσίας, ἢ Ἀαρῦσεν, Aarhusen.
6. Ῥίπας, ἢ Ῥίπεν, Ripen, ϗ
7. Εἰς τὸ Δυκάτον τῦ Σλεσβίκυ, Sleswich.

§. 331. Καὶ ἄλλως δὲ διαιρεῖται ἡ Δανία, ἤτουν εἰς χέρσον, ϗ νήσυς, φυσικῇ διαιρέσει. τύτων ἡ μὲν χέρσος, ἥτις Κιμβρικὴ χερσόνησος καλεῖται, ϗ Ἰυτία, ϗ Ἰυητλανδία, Jutland, ἀφ᾽ ἑαυτῆς μερίζεται εἰς βόρειον ϗ νότιον Ἰυτλανδίαν. ὧν ἡ μὲν βόρειος τὰς τέσσαρας

---

| | | |
|---|---|---|
| *Δανία κυρίως* . | { *Νὸρδ Ἰύτλανδ* . . | { *Βίβοργ*. |
| | *Σὺδ Ἰύτλανδ* . . | *Σλέσβικ*. |
| *Νῆσος ἐν τῇ εἰσόδῳ τῆς Βαλτικῆς θαλάσσης* | *Ζέελανδ* . . . . | *ΚΟΠΕΝΧΑΓΓ*. |
| | *Φιονία* . . . . . | { *Ὀδενσέε*. |
| | *Φάλςερ*, ϗ . . . | *Νικοπιγγ*. |
| | *Λάγγελανδ* . . . | *Νάξκυ*. |
| | *Φέμερεν* . . . . | *Βοργε*. |
| | *Ἄλσεν* . . . . | *Σύνδεβοργ*. |
| | *Μόνε* . . . . . | *Στέκε*. |
| | *Βόρνχολμ* . . . . | *Ῥάδνο*. |
| *Ἐν τῇ Κατωτέρᾳ Σαξωνίᾳ* . . | { *Δυκάτον τῦ Ὀλςεῖν*. | *Γλύκκςαδ*. |

„*Ἡ Δανία ἐκτείνεται κατὰ μῆκος* 80 *μίλ*. ϗ *κατὰ πλάτος* 60, *περιέχει* 1,302 *μίλ. τετραγωνικά*· ϗ *κατ᾽ ἀναλογίαν* 1,000 *ἐγκατοίκων εἰς ἓν τετραγ. μίλ*.

*Ὁ ἀριθμὸς τῶν ἐγκατοίκων ὅλυ τῦ βασιλείυ ἀνέισιν ἐγγὺς τῶν* 2,000,000.

*Ἡ Στρατιωτικὴ αὐτῆς δύναμις ἀνέισιν ἕως* 70,000, *τῶν δὲ ναυτῶν* 26,000.

τῶν εἰρημένων ἐπισκοπῶν περιέχει, ἤτοι τὴν τῦ Ἀλβέργυ, τὴν τῦ Βιβύργυ, τὴν τῆς Ἀρυσίας, ἐ τὴν τῆς Ῥίπας· τὸ δὲ νότιον, τὸ Δυκάτον τῦ Σλεσβίκυ.

§. 382. Αἱ δὲ τῆς Δανίας νῆσοι 20.

Αἱ μὲν μεγάλαι αἱ προειρημέναι, τυτέςιν.

1. Ἡ Ζελανδία, ἐ
2. Ἡ Φιονία.

Αἱ δὲ τῶν ἄλλων ἐπισημώτεραι.

3. Ἡ Λέσσυ, Lessou.
4. Ἡ Ἀνυτία, Anhout.
5. Ἡ Σάμος, ἢ Σαμσόε, Samsoe.
6. Ἡ Ἀμακία, Amach.
7. Ἡ Μόνα, Moena.
8. Ἡ Φαλςερία, Falster.
9. Ἡ Λαλανδία, Laland.
10 Ἡ Βορνολμία, Bornholm.
11. Ἡ Λαγγελανδία, Langeland.
12. Ἡ Ἄῤῥοε, Aroe.
13. Ἡ Ἀλσενία, Alsen.
14. Ἡ Φεμερνία, Femern.
15. Ἡ Φάνοε, Fanoe.
16. Ἡ Ῥὸμ, Rom.
17. Ἡ Συλτία, Sylt.
18. Ἡ Φόρα, For.
19. Ἡ Νοορδςρανδία, Noorstrand, ἐ
20. Ἡ Εἰλγελανδία, Heilgeland.

§. 383. Αἱ δὲ πρωτεύυσαι πόλεις 7.

1. Τὸ Κοππενάγυε, Copenhague, ἢ τὸ πάλαι Ἀφνία, ἐ Κοδανία μητρόπολις τῆς τε νήσυ Ζελανδίας, ἐ πά-

σης τῆς τῶν Δάνων βασιλείας, ἐν ᾗ ϗ ὁ Βασιλικὸς Θρόνος.

2. Ἡ Ὀδενσέα, Odensee, ἡ ϗ ὁ Μωνία, πρωτεύουσα τῆς Φιονίας νήσου.

3. Τὸ Ἄλβουργον, Albourg, τῆς ὁμωνύμου αὐτῷ ἐπισκοπῆς.

4. Τὸ Βίβουργον, Wibourg, ὁμοίως.

5. Ἡ Ἀρουσία, Aarhusen, ὡσαύτως.

6. Ἡ Ῥίπα, Ripen, παραπλησίως, ϗ

7. Τὸ Σλέσβικον, Sleswich, τοῦ ὁμωνύμου αὐτῷ Δουκάτου.

§. 384. Πόλεις δὲ παραθαλάσσιοι 23.

Ἐν μὲν τῇ Ζελανδίᾳ.

1. Ἡ Ἀφνία, Coppenhague, ἡ προειρημένη.

2. Ἑλσιγγόρα, Helsittgor, ἡ Elseneur.

3. Κόγη, Küge.

4. Κόρσορ, Corsor.

5. Τὸ Καλλουνδβουργον, Kallundbourg, ϗ

6. Ἡ Ῥοσκίλδα, Roskild, ἡ ἐν τῷ βάθει μικροῦ τινος κόλπου κειμένη.

Ἐν δὲ τῇ Φιονίᾳ.

7. Τὸ Νεόβουργον, Nybourg.

8. Φόβουργον, Fobourg.

9. Ἡ Ἀσσένσα, Assens, ϗ

10. Ἡ Μιττελφαρτία, Mittelfart.

Ἐν δὲ τῇ Βορείῳ Ἰουτλανδίᾳ.

11. Τὸ Σεέβυ, Seeby.

12. Τὸ Ἄλβουργον, Albourg, τὸ προειρημένον.

13. Ἡ Ἀρουσία, Aarhusen, ἡ προδιαληφθεῖσα.

14. Κλοδίγγα, Cloding, ϗ

15. Ῥιγγιοπίγγα, Ringhiping.

Ἐν δὲ τῇ Νοτίῳ Ἰουτλανδίᾳ.

16. Ἡ Ἀδερσλεβένα, Hadersleben.
17. Ἀππενταδία, Appentade.
18. Τὸ Σλέβικον, Sleswich, τὸ προειρημένον.
19. Φλένσβουργον, Flensbourg.
20. Ἡ Ἐκελενφορδία, Ekelenforde.
21. Τὸ Φριδερικςάδιον, Fredericstad.
22. Οὔσυμ, Husum, ἢ.
23. Ἡ Τυνδερενία, Tunderen.

§. 385. Ποταμοὶ δὲ ἐν τῇ Δανίᾳ μεγάλοι 2.

1. Ὁ Σλύε, Slye, ἐν τῷ τῆ Σλεσβίου Δουκάτῳ, ἢ
2. Ὁ Ἔϋδερ, Eyder, ὁ τὴν Δανίαν τῆς Γερμανίας ἀφορίζων.

§. 386. Κόλπος δὲ εἷς, ὁ Λύμφορτος, Lymfort, ὁ μεταξὺ τῆ Ἀλβούργου, ἢ Βιβούργου.

Πορθμοὶ δὲ 2. τῆ Ἀλβούργου, ἢ Βιβούργου.

1. Ὁ μέγας Βέλτ, Belt, ἢ
2. Ὁ μικρὸς Βέλτ.

§. 387. Ἀκρωτήρια δὲ τὰ ἐπιφανέςερα 2.

1. Τὸ Στευενσαλίντιον, Stevens-khint, ἐν τῇ Ζελανδίᾳ νήσῳ, ἢ
2. Τὸ Σχάγενον, Schagen, ἐν τῇ βορείῳ Ἰουτλανδίᾳ.

§. 388. Ὅρια δὲ τῆς Δανίας, τὰ μὲν Ἀνατολικὰ, ἡ Βαλτικὴ, ἢ ἡ Σύνδιος θάλασσα, τὰ δὲ Βόρεια, τὸ Κατεγὰτ ἢ Σχαγεράχ πέλαγος· (ὅρα §. 203.) τὰ δὲ Δυτικὰ, ἡ βόρειος θάλασσα, τὰ Νότια, ἡ Γερμανία.

§. 389. Τῶν δὲ ἐπ᾽ εὐθείας αὐτῆς ἐκτάσεων, ἡ μὲν κατὰ μῆκος μεγίςη, ἡ ἀπὸ Ἀνατολῆς πρὸς Δύσιν, ἤτοι ἡ ἀπὸ τῆς Ἀφνίας ἄχρι τῆς Ῥίπης, ἴση μιλίοις 34· ἡ δὲ κατὰ πλάτος, ἡ ἀπὸ τῆ Ἔϋδερ ποταμῆ, ἄχρι τῆ Σχαγένου ἀκρωτηρίου 50.

§. 390. Τὸ μὲν τῆς Δανίας Μῆκος ὑπὸ τὴν 25½ μοῖραν κεῖται, ἐπεκτείνεται δὲ ἄχρι τῆς 30½· τὸ δὲ πλάτος, ὑπὸ τὴν 54, ἄχρι τῆς 58¼.

## ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

## Περὶ τῆς Νορυεγίας, ἢ Νορβεγίας, τῆς καὶ Νηρίγυ.

§. 391. Ψυχρὸς μὲν ὁ τῆς Νορβεγίας ἀὴρ, βυνώδης δὲ ἡ γῆ. καὶ στειρεύουσα· ναυπηγικὰ γὰρ μόνον φύει ξύλα.

§. 392. Μοναρχικῶς ἡ Νορβεγία διοικεῖται, ἥτις εἶχε μὲν τὸ πάλαι ἰδίυς βασιλεῖς, κατὰ δὲ τὸ 1387, ἀπὸ Χριστῦ ἔτος, διαδοχῆς λόγῳ τῇ τῶν Δάνων συνήφθη βασιλείᾳ. διὸ δὴ τὰ νῦν ὁ Διοικητὴς αὐτῆς τόπον βασιλέως ἐπέχει, τὴν χριστιανίαν οἰκῶν πόλιν, τὴν καὶ Ἀνσλολαν, ἢ Ἄνσλον καλυμένην.

§. 393. Τοῖς τῦ Λυθήρυ ὑπείκυσι διδάγμασιν οἱ αὐτῆς οἰκήτορες, καθάπερ καὶ οἱ Δάνοι. ἔξελε δὲ τὺς τὰ βορειότερα αὐτῆς μέρη οἰκῦντας εἰδωλολάτρας καὶ δεισιδαιμονεστάτυς ὄντας· ὧν τὸ ἦθος οὐχ ἧττον ἢ τὴν θρησκείαν ἄχρι τῦ νῦν αἱ ἐπιστῆμαι καθᾶραι ὐκ ἐξίσχυσαν.

§. 394. Ῥωμαλαῖοί εἰσιν οἱ τῆς Νορβεγίας πολισταὶ, καὶ ἰσχυροὶ, καὶ ναυτικοὶ, ἀλλ' ἀπολίτευτοι. οἱ δὲ τὰ βόρεια μέρη καὶ ὄρη αὐτῆς οἰκῦντες, δέρμασι μόνον ἐνδεδυμένοι, καὶ μικρῦ δεῖν ἄγριοι.

§. 395. Τῶν μὲν τῆς Νορβεγίας οἰκιστῶν ὁ ἀριθμὸς ἴσος περίπυ 621,000· τῶν δὲ τῆς Ἰσλανδίας νήσυ 80,000· στρατιωτικαὶ δὲ Δυνάμεις αὐτῶν τε καὶ τῶν Δάνων αἱ αὐταί.

§. 396. Εἰς μέρη δύω διαιρεῖται ἡ Νορβεγία.

1. Εἰς Μεσημβρινὴν, καὶ
2. Εἰς βόρειον Νορβεγίαν.

Τούτων δὲ ἑκάτερον εἰς δύω ὑποδιαιρεῖται, ὥστε ὅλη ἡ Νορβεγία εἰς μέρη διαιρεῖται 4.

1. Εἰς τὴν Σατραπίαν τῆς Βεργηνσίας, de Bergen.
2. Τῆς Ἀγγερσσίας, d'Aggerhus, ἢ Ἄνσλυ, Anslo, ἢ Ἄψλυ, Opslos.
3. Τῆς Δροντεμίας, Dronthem, τῆς καὶ Νιδρυσίας.
4. Τῆς Οὐβερδυσιανῆς, Wardhus, ἢ Νορδλανδίας, Nordland, τῆς καὶ Δανικῆς Λαπονίας καλυμένης, καὶ
5. Ἡ τῆς Ἰσλανδίας μεγάλη νῆσος (1) ἡ ὑπὸ τὴν Νορβεγίαν τύτοις προςίθεται. (α)

(1) Ἔστι δὲ ἡ νῆσος αὕτη βυνώδης, πετρώδης, καὶ στεῖρα, νομαδικὴ ὅμως κατ' ἐξοχὴν, καὶ ὁ ἐν αὐτῇ φύων χόρτος ὀδμήν τινα ἔχει θαυμασίαν· οἱ δὲ κατὰ τὸν Μάϊον μῆνα ἀπὸ τῶν μερῶν τῆς γῆς τῆς πλησιεστέρας τῶν πόλων ἀποτεμνόμενοι κρύσταλλοι, πλῆθος σύρυσι ξύλων καὶ ζώων, οἷον λύκων, Ἄρκτων, καὶ Ῥενάρδων (β) καλυμένων, ἅπερ ἐπὶ τὰ πρόσω τῆς πεπηγμένης θαλάσσης προχωρήσαντα, νήχονται, καὶ καταίρυσιν, ὅπυ ἂν αὐτὰ ἀγάγωσιν οἱ κρύσταλλοι. Ἵππυς δὲ ἐκλεκτὺς τρέφει ἡ νῆσος, καὶ πηγῶν πλυτεῖ θερμῶν καὶ ὑγιεινῶν ὑδάτων, ποταμῶν τε καὶ λιμνῶν ἰχθυοτρόφων. Περιφανὲς δὲ ἐν αὐτῇ καὶ τὸ ὄρος Ἕκλα, δι' ἧς ἐκπέμπει φλόγας ἐνίοτε δὲ καὶ ῥῦν φλογερὸν, καθάπερ καὶ τὸ τῦ οἴνυ

---

(α) Ἐκτείνεται αὕτη κατὰ μῆκος 120 μίλ. κατὰ πλάτος 75· 5,111 μίλ. τετραγωνικὰ περιέχυσα· κεῖται μεταξὺ τῦ 63 καὶ 67 βαθμῦ τῦ πλάτυς, 353 καὶ 362 τῦ μήκυς.

(β) Ἀλωπέκων.

πνεῦμα, οἱ ἰθαγενεῖς πιςεύουσιν, ὅτι μέρος μὲν τὸν καταδίκων ψυχῶν ἐν αὐτῷ τῷ ὄρει βασανίζονται· μέρος δὲ τὸν παγετὸν κατεδικάσθησαν φέρειν τὸν πλησίον τῆς νήσου αὐτῶν. θρησκεύουσι δὲ τὸ τοῦ Λουθήρου, καὶ ἔνθεν, κἀκεῖθεν διεσπαρμένας ἔχουσι τὰς ἑαυτῶν οἰκίας, ὧν αἱ πλείονες τῇ γῇ ἐκτεθαμμέναι διὰ τὸν ἄνεμον, καὶ τὸ ψῦχος. ζῶσι δὲ ὑπὲρ τὰ 100, ἔτι, μὴ δὲ ἰατροῖς, μὴ δὲ βοτάνοις χρώμενοι, ὀκνηροὶ δὲ εἰσίν. Ἦν δέποτε ἀριςοκρατικὴ ἡ τῆς νήσου διοίκησις, κατὰ δὲ τὸ 1263 (§. 400.) ἔτος οἱ τῆς Νορβεγίας βασιλεῖς κύριοι αὐτῆς ἐγένοντο. διὸ δὴ τὰ νῦν ὑπὸ τοὺς Δάνους ἐςίν, ὧν ὁ Βασιλεὺς διοικητὴν ἀποςέλλει τόπον Βασιλέως ἐπέχοντα.

§. 397. Πρωτεύουσαι ἐν τῇ Νορβεγίᾳ πόλεις 5.

1. Ἡ Βεργεντία, Bergen, πρωτεύουσα τῆς ὁμωνύμου αὐτῇ Σατραπείας.
2. Τὸ Ἀγγερουσιανὸν φρούριον, Château d'Aggerhus, σὺν τῇ Χριςιανίᾳ πόλει τῆς Ἀγγερουσίας, ἐν ᾗ ὁ τῆ τὸν τοῦ Βασιλέως τόπον ἐπέχοντος θρό...
3. Ἡ Δροντεμία, Dronthem, τῆς ὁμωνύμου αὐτῇ Σατραπείας.
4. Ἡ Οὐβαρθουσιανή, Warthus, τῆς Δανικῆς Λαπονίας, καὶ
5. Ἡ Σκαλολδία, Skalhold, τῆς Ἰσλανδίας νήσου.

§. 399. Πόλεις δὲ παραθαλάσσιοί τε, καὶ εὐλίμενοι 7.

Ἐν μὲν τῇ Βεργηνσίᾳ.

1. Σταυαγγερία, Stavanger.

Ἐν δὲ τῇ Ἀγγερουσίᾳ.

2. Ἡ Χριςιανσανδία, Christiansand.
3. Τὸ Φρεδερικςάδιον, (α) Fredericstadt.

---

(α) Ἡ Φρεδερικόπολις.

4. Φρεδερίκσαλον, Fredericshal, ϗ
5. Φλέκερον, Flocherö.
'Εν δὲ τῇ Δροντεμίᾳ.
6. Ἡ 'Ρομσδαλία, Romsdale.
'Εν δὲ τῇ Δανικῇ Λαπονίᾳ.
7. Ἡ Βεραγγερία, Waranger.

§. 399. Ποταμοὶ δὲ μεγάλοι 2.

1. Ὁ Γλάμας, Glama, ἢ Γλήμενος, Glummen, ἐν τῇ 'Αγγερησία, ϗ
2. Ὁ Μάλστρομος, Malstrom, ὁ ἐν τοῖς δυτικοῖς τῆς Νορβεγίας μέρεσι, ῥοῦς μᾶλλον δὲ βάραθμον, παλιῤῥοίας ἀνὰ ἓξ ὥρας πάσχων, ὅτε αὔξει, πάντα τὰ παρατυχόντα περιδινούμενος ἐκροφεῖ, ἅπερ μειούμενος πάλιν ἀναδίδωσιν.

§. 400. Ὑπὸ πολλῶν δὲ κατατέμνεται ἡ Νορβεγία ὀρέων ϗ διαχωρίζεται· ὧν ἐπισημότερα τὰ ἑξῆς.

1. Τὰ Δόφρη, Dofres, ἢ Δερεφιέλδ, Derefield, σειρά τις ὀρῶν οὖσα, κατὰ πᾶν τὸ τῆς Νορβεγίας Μῆκος, ἐπεκτεινομένων, ϗ
2. Τὸ Ἕκλα, Hecla, ἐν τῇ Ἰσλανδίᾳ νήσῳ, πῦρ ἐξερευγόμενον.

§. 401. Πλῆθος νήσων τὴν Νορβεγίαν περικυκλοῖ, ὧν ἐπιφανέστεραι πρὸς τῇ Ἰσλανδίᾳ, εἰσὶν αἱ ἑξῆς.

1. Ἡ Ἱττερανία, Hitteren.
2. Νομενδαλία, Nomendale.
3. Λοφορδενία, Lofforden.
4. Σαμιενία, Samien.
5. Συῤῥοῦ, Surroy.
6. Τρόμσος, Tromsö, ϗ
7. Αἱ Φαρήνσιαι νῆσοι, de Ferro, ἢ Fere, αἱ ὑπὸ τὴν

Νορβεγίαν ταττόμεναι, κἂν τῷ τῶν Δάνων ὑπείκωσι κράτει.

§. 402. Ἀκρωτήρια δὲ ἐν αὐτῇ 3.

Βόρεια μέν.

1. Τὸ Νορδκάπ, Nord-cap, ϗ

2. Τὸ Νορδκύν, Nord-kyn.

Μεσημβρινὸν δέ.

3. Τὸ Νέζ, des Nez.

§. 403. Περατῦται δὲ ἡ Νορβεγία κατὰ μὲν Ἀνατολὰς, ὑπὸ τῆς Σβεκίας, κατὰ δὲ Μεσημβρίαν ὑπὸ τῦ Σχαγεράχ. (Κόλπος μέγας ἐςὶν ὑπὸ τῆς βορείυ συνεςηκὼς θαλάσσης, ἐν ᾧ ὡς χερσόννησος ἡ Ἰυτλανδία (ὅρα §. 382.) προκύπτει (ὅρα §. 203.) κατὰ δὲ Δύσιν, ὑπὸ τῆς βορείυ θαλάσσης· κατὰ δὲ βοῤῥᾶν, ὑπὸ τῆς πεπηγμένης θαλάσσης.

§. 404. Τῶν δὲ ἐπ' εὐθείας αὐτῆς ἐκτάσεων, ἡ μὲν κατὰ πλάτος ἡ ἀπὸ Ἀνατολῆς πρὸς Δύσιν, ἡ ἐν τοῖς μεσημβρινοῖς αὐτῆς μέρεσιν, ἴση μιλίοις περίπου 50· ἡ δὲ ἐν τοῖς βορείοις, εἴτην ἐν τῇ Δανικῇ Λαπονίᾳ πολλῷ ἐλάσσων· ἡ δὲ κατὰ μῆκος, ἡ ἀπὸ νότυ πρὸς βοῤῥᾶν 125. (α)

§. 405. Τῶν δὲ τῆς Ἰσλανδίας νήσυ ἐκτάσεων, ἡ μὲν κατὰ μῆκος, ἡ ἀπὸ Ἀνατολῶν πρὸς Δυσμὰς ἴση μιλίοις περίπυ 75· ἡ δὲ κατὰ πλάτος, ἡ ἀπὸ νότυ προς βοῤῥᾶν 45.

§. 406. Τὸ μὲν Μῆκος τῆς Νορβεγίας ἄρχεται

---

(α) Ἐκτείνεται κατὰ μῆκος 400 μίλ. ϗ κατὰ πλάτος 75, περιέχει 7,934 μίλ. τετραγ. ϗ τὸ καθε μίλ. ἔχει 90 ἐγκατοίκυς.

ἀπὸ τῆς 23 μοίρας, ϗ λήγει εἰς τὴν 49· τὸ δὲ πλάτος ἀπὸ τῆς 58, εἰς τὴν 72. ἐπεκτείνεται δὲ ἡ Νορβεγία πέραν τȢ περὶ τὸν Πόλον ἀρκτικȢ κύκλȢ.

## ΚΕΦΑΛΑΙΟΝ Ιϛʹ.

## Περὶ τῆς Σȣηκίας, ἢ Σβεκίας, ἢ Σβετζίας, ἢ Συηδίας, ἢ Συηκίας.

§. 407. Καθαρὸς μὲν ϗ ὑγιεινὸς, ἀλλὰ ψυχρότατος ὁ τῆς Σȣηκίας ἀὴρ, βραχύτε τὸ ἐν αὐτῇ θέρος, ϗ ὁ χειμὼν ἐπιμήκιςος· ἡ δὲ γῆ ἑλῶν ϗ βȢνῶν, ϗ δρυμῶν, ϗ ἀβάτων τόπων πλήρης. Θηριοτρόφος δὲ τὰ μάλιςα, ϗ γὰρ ϗ Ἄρκτȣς ϗ Ἀλώπεκας, ϗ τȣς καλȣμένȣς Ἐλάνȣς, ϗ Ῥέννȣς, (α) ϗ ἄλλα παντοῖα τρέφει θηρία. Ἔςι δὲ ϗ μεταλλῖτις, Κύπριν ἐκλεκτὸν ἐμπεριέχȣσα, ϗ χρυσὸν ϗ ἄργυρον, ϗ λίθȣς τιμίȣς, ϗ πᾶν ὀρυκτὸν εἶδος· ϗ ἐμπόριον δὲ ἐν αὐτῇ ἐπίσημον σιδήρȣ ϗ πίσσης ϗ ῥητίνης ϗ ναυτικῶν ἱςῶν ϗ δερμάτων ζώων.

§. 408. Ἦν μὲν τὸ πάλαι ἡ τῆς Σȣηκίας βασιλεία τῇ τῶν Δάνων συνημμένη· τὸ δὲ ἐκ τῶν δύω τȣτων συγκείμενον κράτος βασιλεία τῶν Γότθων ἐλέγετο. κατὰ δὲ τὸ 1512 ἔτος τῆς Δανίας ἀποχωρισθεῖσα, ἴδιον ἐκτήσατο Βασιλέα.

§. 409. Ἔκτοτε δὲ ἄχρι τῶν καθ' ἡμᾶς ἡμερῶν ȣχ ἁπλῶς μοναρχικὴ, ἀλλὰ σύμμικτος ἦν ἡ ἐν αὐτῇ Διοίκησις. ϗ γὰρ περιωρίζετο ἡ βασιλικὴ ἐξȣσία ὑπὸ

---

(α) Ταχύπȣν τὸ ζῶον τȣτο· ὅθεν ϗ τὴν ἐπωνυμίαν ἐκ τοῦ rennen ΓερμανικȢ ῥήματος, ὃ σημαίνει τρέχειν.

τῶν Σατραπειῶν τῶν ἐκ τῶν Εὐγενῶν, ἢ τῆ ἱερατικῆ κλήρη, ἢ τῶν κωμοπολιτῶν ἢ ἀγρωτῶν, συγκειμένων. ὁ δὲ τὰ νῦν βασιλεύων πρὸ δύω ἤδη ἐτῶν Μονάρχην ἑαυτὸν κατέςησε. (α)

§. 410. Τὰ τῆ Λυθήρη θρησκεύασι δόγματα οἱ Σηήβοι, εἴτυν οἱ Σβέκοι, καθάπερ ἢ οἱ Δάνοι, ὑπὸ Διοικητὰς, Ἀρχιεπίσκοπον ἕνα ἢ ἐπισκόπες ἑπτά.

§. 411. Ῥωμαλᾶιοι δὲ οἱ Σηήβοι, φιλοπονώτατοι, τῶν πόνων ἀνθεκτικοὶ, μεγαλοπρεπεῖς, τρυφηλοὶ, φιλεπιςήμονες, λίαν φιλελεύθεροι ἢ ἀνδρεῖοι ςρατιῶται.

§. 412. Ὁ μὲν ἀριθμὸς αὐτῶν ἄνεισιν ἐπὶ τὰ 3,000,000· τὸ δὲ ςρατόπεδον, ἴσον περίπυ 24,000· τὸ δὲ ναυτικὸν, πολεμικαί τινες νῆες. (β)

§. 413. Διαιρεῖται ἡ Σηηκία εἰς μέρη .ϛ.

1. Εἰς τὴν Συεονίαν, Sueonie, ἢ κυρίως Σηηκίαν, la Svede propre.
2. Γοτθίαν, ἢ Γοθλανδίαν, Gotland.
3. Νορλανδίαν, ἢ Νορδλανδίαν, Nordland.
4. Λαπονίαν τὴν Σηηκικὴν, Laponie Svedoise, ἢ
5. Φινλανδίαν, Finlande, ἢ Φιννονίαν, ἢ Φινίαν. (γ)

---

(α) *Γυςᾶυος ὁ Γ'. τῷ 1772 καταλύσας τὴν προτέραν διοίκησιν μονάρχην ἑαυτὸν κατέςησε. Δῆλον ὂν, ὅτι τῷ 1774 ἔτει ὁ Συγγραφεύμας ταύτην τὴν Γεωγραφίαν συνέγραψε.*

(β) *Ὁ ἀριθμὸς τῶν ἐγκατοίκων ἄνεισι 2,800,000· τῦ δὲ ςρατοπέδυ 40,000 ἔχει δὲ ἢ νῆας πολεμικὰς 40.*

(γ) *ΝΕΩΤΕΡΙΚΗ ΔΙΑΙΡΕΣΙΣ.*

| *Ἐπαρχίαι.* | *Πρωτεύυσαι πόλεις.* |
|---|---|
| *Σβεκία κυρίως . . . .* | *ΣΤΟΚΧΟΛΜ.* |
| *Γοτθία . . . . . .* | *Κάλμαρ.* |

§. 414. Μητρόπολις πάσης τῆς τῶν Σουήβων βασιλείας ἡ Στοκολμία, Stockholm, πόλις πλουσία, ἐν ᾗ καὶ ὁ βασιλικὸς θρόνος, καὶ ἐμπορικὴ διὰ τὸν ἐν αὐτῇ λιμένα, τοσοῦτον εὐρύχωρον καὶ ἀσφαλῆ ὄντα, ὥστε καὶ τὰς μεγίστας ναῦς, τὰς ἐν αὐτῷ προσορμιζομένας δίχα ἀγκύρας γαληνιᾶν, καὶ καλωδίων.

§. 415. Πόλεις παραθαλάσσιοι τῆς Σουηκίας πρὸς τῇ εἰρημένῃ Στοκολμίᾳ, αἱ ἐπισημότεραι 23.

Ἐν μὲν τῇ Γοτθίᾳ.

1. Τὸ Γοθέμβουργον, Gothenbourg.
2. Ἀλμστάδιον, Halmstad.
3. Ὕστεδ, Ysted.
4. Καρλσάμιον, Carssaham.
5. Καρέλσκροον, Carelskruon.
6. Κάλμαρ, Calmar.
7. Βίσβυ, Wisby.
8. Βέστερβυκ, Westerwik, καὶ
9. Νόρδκοπιγγ, Nordköping.

Ἐν δὲ τῇ κυρίως Σουηκίᾳ.

10. Ἡ Νικοπία, ἢ Νικόπιγγ, Nyköping, καὶ
11. Ὀρεγρουνδία, Oregrund.

---

| | | |
|---|---|---|
| | Σκανία . . . . . . | Λοῦνδεν. |
| | Λαπωνία . . . . . | Τορνέα. |
| | Βοθνία Δυτικὴ . . . | Οὔμεα. |
| | Φινλανδία Σβεκικὴ . . | Ἄβο. |
| | Βοθνία ἀνατολικὴ . . . | Καϊάνεβεργ. |
| | Γότθλανδ Νῆσος . . . | Βίσβυ. |
| ἀνωτέρα Σαξωνία. | Ὀελάνδ Νῆσος . . . | Βόργχολμ. |
| | Πομερανία . . . . . | Στράλσουνδ. |
| | Ῥῦγεν Νῆσος . . . . | Βέργεν. |

Ἐν δὲ τῇ Νορδλανδίᾳ.

12. Ἡ Γέφλια, Gefle.
13. Σοδεραμία, Soderham.
14. Οὔμα, Uhma.
15. Πίθεα, Pithea.
16. Λύλα, Luhla, ϗ
17. Τόρνα, Torna.

Ἐν δὲ τῇ Φινλανδίᾳ.

18. Τὸ Οὐλάβυργον, Ulabourg.
19. Παλαιὸν ϗ νέον Κάρλεβυ, Carleby.
20. Ἡ Οὐάζα, Vaza, ἢ Μυςαφὰρ, Mustafar.
21. Τὸ Νυςάδιον, Nystadt.
22. Ἄβο, Abo, πόλις ἐν τῇ Φιλανδίᾳ πρωτεύυσα, ϗ
23. Ἡ Ἑλσιγγφορσία, Helsingfors.

§. 416. Αἱ δὲ ἐν τοῖς ἐνδοτέροις τῆς Συηκίας μέρεσι πόλεις ἐπίσημοι 6.

Ἐν μὲν τῇ κυρίως Συηκίᾳ.

1. Ἡ Οὐψαλία, Upsal.

Ἐν δὲ τῇ Νορδλανδίᾳ.

2. Τὸ Φάλυν, Fahlum.

Ἐν δὲ τῇ Γοτθίᾳ.

3. Τὸ Χριςιανοςάδιον, (a) Christianstad, ϗ
4. Λύνδ, Lund.

Ἐν δὲ τῇ Φιλανδίᾳ.

5. Τὸ Καϊανέβυργον, Cajanebourg, ϗ
6. Ἡ Τάυαςος, Tavastus, ἢ Γρονέβυργον, Gronenbourg.

§. 417. Ποταμοὶ δὲ τῆς Συηκίας οἱ μείζονες 5.

---

(a) Χριςιανόπολις.

1. Ο᾿ Κίμις, Kimi, ὁ τὴν Σϐηκικὴν Λαπονίαν ποτίζων, ἢ εἰς τὸν βοθνικὸν κόλπον εἰσρέων.
2. Ο᾿ Τόρνος, Torno, ὁμοίως.
3. Ο᾿ Λύλας, Luhla, ὡσαύτως.
4. Ο᾿ Πιθέας, Pithea, ἐπίσης ἢ
5. Ο᾿ Οὔμας, Uhma, παραπλησίως.

§. 418. Καὶ αἱ ἐπίσημοι δὲ λίμναι, ὡσαύτως ς.

1. Η᾿ Μέλερα, Meler, ἐν τῇ κυρίως Σϐηκίᾳ.
2. Βένερα, Wener, ἢ
3. Ουέτερα, Veter, ἐν τῇ Γοτθίᾳ· μερῶν δέ τινων τῆς λίμνης ταύτης τὸ βάθος, ὀργυιὰς 300. καίπερ τὸ τῆς βαλτικῆς θαλάσσης βαθύτατον μέρος ὀργυιὰς 50. διά τινος δὲ φρικτϐ βρόμϐ προμηνύειν αὐτήν, φασί, τὴν κατὰ τὴν ἐφεξῆς ἡμέραν μέλλϐσαν ἔσεσθαι θύελλαν.
4. Η᾿ Λαπβεςία, Lapwest, ἢ
5. Ἰένδα, Jende, ἐν τῇ Φιλανδίᾳ.

§. 419. Τῆς δὲ περὶ τὴν Σϐηκίαν βαλτικῆς θαλάσσης, τὸ μὲν μεταξὺ τῆς Νορλανδίας ἢ Φιλανδίας μέρος, Κόλπος βοθνικὸς καλεῖται.

Τὸ δὲ ἐν τοῖς Μεσημβρινοῖς τῆς Φινλανδίας μέρεσι, Κόλπος φινλανδικός.

§. 420. Νῆσοι δὲ τῆς Σϐηκίας αἱ διαφανέςεραι 3.

1. Η᾿ Ὀελανδία, Oeland.
2. Γοθλανδία, Gothland, ἢ
3. Ἀλανδία, Aland.

§. 421. Ὀρέων δὲ πλήρης ἡ Σϐηκία, ὧν ἐπιφανέςερα, τὰ Δαρεφιέλδια, Darefield, τὰ τῆς Νορβεγίας αὐτὴν ἀφορίζοντα.

§. 422. Τὰ μὲν Ἀνατολικὰ τῆς Σϐηκίας ὅρια,

ἡ Ῥωσσία· τὰ δὲ Νότια, ἡ βαλτικὴ θάλασσα· τὰ δὲ Δυτικὰ, τὸ Σὴνδ, τὸ Κάτεγατ, καὶ ἡ Νορβεγία· τὰ δὲ Βόρεια, ἡ Δανικὴ Λαπονία.

§. 423. Τῶν δὲ ἐπ' εὐθείας μεγίστων αὐτῆς ἐκτάσεων, ἡ μὲν κατὰ μῆκος, ἡ ἀπὸ ἀνατολῆς πρὸς δύσιν, ἴση μιλίοις περίπȣ 130· ἡ δὲ κατὰ πλάτος, ἡ ἀπὸ Μεσημβρίας πρὸς βοῤῥᾶν 125.

§. 424. Τὸ μὲν Μῆκος τῆς Σȣηκίας ἄρχεται μετὰ τὴν 29. μοῖραν, λήγει δὲ εἰς τὴν 49· τὸ δὲ πλάτος, μετὰ τὴν 56, εἰς τὴν 70. (α)

## ΚΕΦΑΛΑΙΟΝ ΙΖ΄.

## Περὶ Ῥωσσίας, ἢ Μοσκοβίας. (Ζ)

§. 425. Ἡ τῶν Ῥώσσων Αὐτοκρατορία, ἡ πασῶν τῶν τῆς οἰκȣμένης Δεσποτειῶν μείζων, ἐπαρχίας περιέχει πολυανθρώπȣς, καὶ λίαν καρποφόρȣς, πάντων εὐπορȣ̃σας τῶν πρὸς τὴν ἀνάπαυσιν τȣ̃ βίȣ ἐπιτηδείων. ȣ̓δεὶς γὰρ ἄλλος τῆς Εὐρώπης τόπος μέλι τοσȣ̃τον καὶ κηρίον, κάνναβιν, σπέρματα, καὶ παντοῖα ἄλλα ἐκφύει καρποφορήματα, ὡς ἡ γῆ τῆς Ῥωσσίας. δι' ὧν καὶ ἐμπορία τὴν σήμερον μεγάλη γίνεται. ȣ̓κ εἰσὶ δ' ȣ̓̃ν ὅμως ἅπασαι αἱ ἐξ ὧν σύγκειται ἐπαρχίαι τοιαῦται. (β)

---

(α) Ἐκτείνεται κατὰ μῆκος 267 μίλ. καὶ κατὰ πλάτος 160, περιέχȣσα 253.413 τετραγωνικὰ μίλια, καὶ κατ' ἀναλογίαν κατοικȣ̃σιν 150 ἄνθρ. εἰς κάθε τετραγωνικὸν μίλ. κεῖται μεταξὺ τȣ̃ 55° 30', καὶ 70° βαθμȣ̃ τȣ̃ πλάτȣς, 27° 40', καὶ 47° 40' τȣ̃ μήκȣς.

(β) Ὅρα τὴν Σημείωσιν ἔμπροσθεν.

§. 426. Οὐδὲ δὴ ὑπὸ τοῦ αὐτοῦ Κλίματος, ἅπασα περιέχεται ἡ τῆς Ῥωσσίας ἐπικράτεια. διάφορα δὲ τὰ ἐν αὐτῇ Κλίματα, κατὰ τὴν διάφορον τῶν τόπων θέσιν. εἰσὶ δέ τινες ἐν αὐτῇ τόποι, ἐν οἷς ὑπερβολικὸν τὸ ψῦχος, καὶ ὅπου ἐν καιρῷ θέρους τρεῖς μικροῦ δεῖν μῆνας ὁ Ἥλιος ὑπὲρ ἄνω τοῦ Ὁρίζοντος φέρεται.

§. 427. Μοναρχικὴ ἐστὶν ἡ τῆς Ῥωσσίας διοίκησις, κατὰ διαδοχὴν καὶ ἐπὶ τὰ θήλεα προαγομένη. ὑποστέλλεται δὲ ἡ Αὐτοκρατορικὴ ἀπόλυτος ἐξουσία ὑπὸ τῶν νόμων, τῶν διὰ τῆς ἐντύπου εἰσηγήσεως γραφέντων τῆς νῦν ἐνδόξως μοναρχούσης καὶ εὐσεβοῦς Αἰκατερίνης τῆς Β', τῆς εἴτε ἐπίσης, εἴτε καὶ ἔτι μᾶλλον τοῦ μεγάλου Πέτρου ἀοιδίμου τὴν εὔκλειαν κτησαμένης μνήμην. καὶ γὰρ ἀνακεκοίνωνται ἤδη, καθάπερ ἀκούομεν, οἱ εἰρημένοι τῆς εὐταξίας καὶ ἀρίστης καταστάσεως νόμοι.

§. 428. Πίστιν δὲ ἔχουσιν οἱ Ῥῶσσοι τὴν Ἀποστολικὴν καὶ ὀρθόδοξον, ὑπὸ τῶν ἐν Κωνσταντινουπόλει ὀρθοδόξων, κατὰ τὸν δέκατον ἀπὸ Χριστοῦ τοῦ Σωτῆρος αἰῶνα, ἀμέλει τοι περὶ τὸ 980. ἔτος, φωτισθέντες, μετὰ τὸ τὴν Ἄνναν, τὴν τῶν Αὐτοκρατόρων Βασιλείου καὶ Κωνσταντίνου τῶν Τζιμισκῶν αὐταδέλφην γάμου κοινωνίᾳ συζευχθῆναι τῷ ἀειμνήστῳ τῶν Ῥώσσων Δουκὶ Βλαδιμοίρῳ. ἣν δὴ πίστιν ἀπαραμείωτον εὐσεβοῦντες φυλάττουσι καὶ ἀπαράτρωτον. Διοικεῖται δὲ ἡ ὀρθόδοξος αὐτῶν Ἐκκλησία ὑπὸ τῆς ἐκεῖ ἱερᾶς τῶν Ἀρχιερέων Συνόδου, προστατευομένης ὑπὸ τῆς Αὐτοκρατορικῆς ἐξουσίας· ἥτις καὶ πᾶν ἐκκλησιαστικὸν αὐτῆς ἔργον ἐπικυροῖ, κατὰ τὰ ἀρχαῖα τῆς ὀρθοδόξου ἐκκλησίας ἔθη καὶ τοὺς κανόνας (1) ἀνέχεται τὰ τῶν ἄλλων θρησκειῶν, ἐλευθερίαν αὐταῖς παρέχον τὸ τῶν Ῥώσσων κράτος.

(1) *Λίαν ἀμαθῶς ϗ ἀπερισκέπτως λέγουσι τινὲς (ὅρα σελ. 137 τῦ Ἀτλάντος. des enfans) ϗ γράφουσι τὴν τῶν Ῥώσσων ἐκκλησίαν ὑπὸ Πατριάρχου διοικεῖσθαι, ὅστις ἐστὶν αὐτὸς ὁ Αὐτοκράτωρ.*

§. 429 Εἰσὶ δὲ οἱ Ῥῶσσοι ῥωμαλαῖοι, μεγαλόψυχοι, πεπολιτευμένοι, στρατιῶται ἄριστοι, φιλότεχνοι ϗ φιλεπιστήμονες, καθ' ἑκάστην ἡμέραν ταῖς ἐπιστήμαις ϗ τέχναις, ὧν ϗ τὰ ὀνόματα πρότερον ἠγνόουν, προκόπτοντες, ἀπὸ τῶν ἡμερῶν ἐναρξάμενοι τοῦ μεγάλου Πέτρου.

§. 430. Τῶν τὴν μεγίστην τῶν Ῥώσσων Αὐτοκρατορίαν οἰκούντων ὁ ἀριθμὸς ἄνεισι εἰς 20,000,000. (α) Ἔχουσι δὲ ἤτοι στρατόπεδον μὲν εὔτακτον 250,000 (2) ναυτικὰς δὲ δυνάμεις, νῆας πολεμικὰς 50.

(2) *Οὕτω μέν τινες γράφουσιν (ὅρ. τὴν αὐτὴν σελ.) πολλοὶ δὲ τῶν ἐκεῖ ἀφικομένων, μόνας 60 χιλιάδας φασὶν αὐτὰς ἔχειν.*

§ 431. Διαιρεῖται ἡ τῆς Ῥωσσίας Αὐτοκρατορία εἰς μέρη 3.

1. Εἰς τὴν ἀνατολικὴν Ῥωσσίαν.
2. — δυτικὴν Ῥωσσίαν, ϗ
3. — μοσκοβιτικὴν Λαπονίαν.

Τούτοις πρόσκειται ϗ ἐπαρχίαι 2.

1. Ἡ Ἰγγρία, ϗ
2. Ἡ Λιβονία.

§. 432. Πρωτεύουσαι δὲ ἐν τῇ Ῥωσσίᾳ πόλεις 9.

Ἐν μὲν τῇ δυτικῇ Ῥωσσίᾳ.

---

(α) Τὰ νῦν ἄνεισιν ὁ ἀριθμὸς τῶν ἐγκατοίκων 30,000,000. *Τὸ δὲ στρατόπεδον* 360,000, ϗ 15,000 *ναυτας.*

1. Ἡ Μόσκα, μητρόπολις πάσης τῆς Ῥωσσίας.
2. Τὸ Βίβυργον, Wiburg. πόλις παραθαλάσσιος τοῖς Ῥώσσοις ὑπὸ τῶν Σιήκων δοθεῖσα ἔτει 1721, ϗ
3. Ἡ Ἀρχάγγελος καλημένη ἡ ἐν τῇ δεξιᾷ ὄχθῃ τῦ Δυίνα ποταμῦ.

Ἐν δὲ τῇ Ἰγγρίᾳ.

4. Ἡ Πετρόπολις ἐν ᾗ ὁ Αὐτοκρατορικὸς θρόνος ϗ λιμὴν κάλλιςος ὁ ἐν τῷ Φιλανδικῷ κόλπῳ κείμενος. ἔχει δὲ ἡ πόλις αὐτη οἰκοδομὰς θαυμασίας, ἐμπορικωτέρα τε ἐςὶ πασῶν τῶν τῆς Αὐτοκρατορίας πόλεων ϗ ἐπιφανεςέρα.

Ἐν δὲ τῇ Λιβονίᾳ.

5. Ἡ Ῥίγα παραθαλάσσιος πόλις ϗ τῆς Λιβονίας πρωτεύυσα.
6. Περναυΐα, Pernau, παραθαλάσσιος πόλις.
7. Ῥευελία, Revel, ϗ
8. Νάρβα, ἡ Νέρβα ὁμοίως.

Ἐν δὲ τῇ μοσκοβικῇ Λαπονίᾳ.

9. Ἡ Κῶλα πόλις παραθαλάσσιος.

§. 433. Ἔτι δὲ πόλεις ἐπίσημοι ἐν τοῖς ἐνδοτέροις τῆς Ῥωσσίας μέρεσι κείμεναι 12.

Ἐν μὲν τῇ δυτικῇ Ῥωσσίᾳ.

1. Ἡ Καργαπολία, Kargapol.
2. Βολόγδα, Wologda.
3. Ἱερεσλαυΐα, Jereslau.
4. Τβεερία, Twer.
5. Μεγάλη Νοβογροδία, Növogorod.
6. Σμολένζκο, Smolensko.
7. Κιοβία, Kiow, πρωτεύυσα τῆς Οὐκραΐνης, ϗ πάσης τῆς γῆς, τῆς ὑπὸ τῶν Κοσάκων Ταρτάρων ἐνοικυμένης.

8. Σουσδαλία, Susdal.

9. Βολοδιμερία, Wolodimer, ϗ

10. Μικρὰ Νοβογροδία, ἢ Νισνοβογρὸδ, Nissnovogrod.

Ἐν δὲ τῇ Ἀνατολικῇ Ῥωσσίᾳ.

11. Ἡ μεγάλη Περμία, Perme, ϗ

12. Παπινογοροδία, Papinogorod.

ἐςι δὲ, ἡ ἐν αὐτῇ γῆ βουνώδης καὶ πετρώδης καὶ ςειρέυησα, ἀλλ' ἡ ἐπιτηδειότης καὶ οἱ ἄτρυτοι τῶν οἰκιςῶν αὐτῆς πόνοι, καρποφόρον αὐτὴν ἀναδεικνύησι τῶν γειτόνων ἐχ ἧττον. περιέχει δὲ ἡ αὐτὴ γῆ καὶ πλῆθος Ποταμῶν, Λιμνῶν, Πηγῶν, καὶ Ἀργύριον, Χρυσίον, κύπριν, Θεῖον, Ἤλεκτρον, καὶ Λίθες τιμίες. Ἐν αὐτῇ δὲ κατασκευάζονται καὶ τὰ ἐκλεκτὰ σκεύη, τὰ καλέμενα προκελανικά. εἰσὶ δὲ οἱ Ἰθαγενεῖς τῆς Ἰαπόνης μικροὶ τὸ ἀνάςημα, ὑπομέλανες, ἀσχημότατοι· κόσμιοι δὲ, καὶ ὀξύνοες, ἐγκρατεῖς, πολεμικοὶ, καὶ εὔτακτοι· τὴν δὲ θρησκείαν εἰδωλολάτραι· καὶ κατὰ μὲν τὸ 1554 ἔτος συνέςησαν οἱ Ἰησῆται ἐν τῇ ἐπαρχίᾳ τῆ Πόγρη ἐκκλησίαν, κατὰ δὲ τὸ 1637, ἔτος αὐτή τε κατηδαφίσθη, καὶ οἱ Χριςιανοὶ ἐξωρίσθησαν ἐκεῖθεν. Οἱ Λυσιτανοὶ δὲ πρῶτοι κατὰ τὸ 1542 ἔτος γνωςὴν πεποιήκασι τὴν Ἰαπόνα τοῖς λοιποῖς Εὐρωπαίοις, θυέλλῃ ἐκεῖ ἐξωκείλαντες.

16. Ἡ Σαγαλία, Sagalie, ἡ ὑπὸ τὰς Σίνας.

§. 500. Χερσόνησοι δὲ ἐν τῇ Ἀσίᾳ ἐπίσημοι 6.

1. Ἡ Καμβουα, Kambaye, ἡ Γηζαράτα, Guzarata, ἐπαρχία τῆς Αὐτοκρατορίας τῆ Μογὲλ, κατὰ τὸ Ἰνδοςάν.

2. Αἱ δύω χερσόννησοι τῆς Ἰνδίας ἤτε Ἀνατολικὴ, καὶ ἡ Δυτική.

3. Ἡ Μάλακα, Malaca, ἡ ἐπὶ τὸ Μεσημβρινὸν μέρος τῆς τῆ Σιὰμ Βασιλείας κειμένη, τῆς Ἰνδίας Βασιλεία ἐςίν· οἱ δὲ πολιςαὶ αὐτῆς ἔκδοτοι ταῖς ἡδοναῖς, ὧν ἡ διάλεκτος ἡδυτέρα νομίζεται πασῶν τῶν τῆς Ἀνατολῆς γλωσσῶν.

4. Ἡ Καμβουα, Camboye, Βασιλεία τῆς Ἰνδίας.

5. Ἡ Κορέα, Corée, μεταξὺ τῆς Σίνας, ἢ τῆς Ἰαπόνης, τῷ τῶν Σίνων κράτει ὑποκειμένη· ἐξ αὐτῶν γὰρ οἱ πολιςαὶ αὐτῆς κατάγονται, ὧν τὴν διάλεκτον διατηρῦσι ἢ τὰ ἤθη, ἢ τὴν διοίκησιν· φιλεπιςήμονες δέ εἰσι ἢ ναυτικοὶ, ἢ καθ' ὑπερβολὴν τῶν ἑαυτῶν Βασιλέα τιμῶσι, τὺς δὲ νεκρὺς αὐτῶν μετὰ τριετίαν θάπτυσιν. Ἔςι δὲ ἡ ἐν αὐτῇ γῆ ἀρωματοφόρος ἢ ὀρυζοφόρος ἢ σιτοφόρος, εἰς ὀκτὼ ἐπαρχίας διῃρημένη, ὧν πρωτεύυσα ἡ Σιόρ.

6. Ἡ Καμςχάτκα, Kamschatka, ἡ ἐν τῷ ἐσχάτῳ ἀνατολικῷ πέρατι τῆς Ἀσίας ἢ τῆς τῶν Ῥώσσων Αὐτοκρατορίας, μεταξὺ τῷ ὁμωνύμῳ αὐτῇ κόλπῳ, ἢ τῆς Ἰαπονικῆς θαλάσσης κειμένη· διάφορα δὲ ἔθνη οἰκῦσιν αὐτὴν, ὧν τὰ μὲν τὸ Μεσημβρινὸν ἐνοικῦντα μέρος, ἀποικίαι τῶν Ἰαπονίων εἰσί· τὰ δὲ τὸ μέσον ὑποτελεῖ τοῖς Ῥώσσοις φόρον διὰ σισύρων, εἴτ' ὖν διφέρων· τὰ δὲ τὸ Βόρειον, ἔθνη εἰσὶν ἄγρια, τὺς Ῥώσσυς ἀποκτείνοντα, ὅπυ ἂν αὐτὺς εὕρωσιν. ἀκμὴν δὲ ἄγνωςος ὁ τόπος ὅλος.

§. 501. Πρωτεύυσαι ἐν τῇ Ἀσίᾳ πόλεις 30.

Ἐν μὲν τῇ μικρᾷ Ἀσίᾳ.

1. Ἡ Σμύρνη.

Ἐν δὲ τῇ Ἀραβίᾳ τῇ εὐδαίμονι,

2. Ἡ Μέκκα, ἡ νομιζομένη παλαιὰ Μάῤῥαβα, ἢ Μοχύρα, ἢ ἢ Ἠδοςάν.

3. Ἡ Μεδινὲ, ἢ Μεδινὰ, ἡ τὸ πάλαι Ἰαθρὶμ ἢ Μέθυμνα καλυμένη, ἢ

4. Ἡ Μόκα, πόλις παραθαλάσσιος ἐν τῇ εἰσόδῳ τῆς ἐρυθρᾶς θαλάσσης, ἐν ᾗ ἐπίσημον ἐμπόριον τῦ ἐκλεκτῦ Καφέ.

'Εν δὲ τῇ Συρίᾳ.

5. Ἡ Ἱερουσαλὴμ, τὰ νῦν πόλις μικρὰ, τὸ πάλαι δὲ πρωτεύουσα τῆς Παλαιστίνης, καὶ πάσης τῆς Ἰουδαίας, καὶ ἡ Ἀντιόχεια. (1)

(1) Πόλις παλαιὰ καὶ ἐπισημοτάτη, πάσης τῆς Συρίας, μᾶλλον δὲ πάσης τῆς Ἀνατολῆς πρωτεύουσα, ἐν ᾗ καὶ ὁ Πατριαρχικὸς θρόνος· τὰ νῦν δὲ μόνα τῆς διαφθορᾶς ταύτης τὰ λείψανα ὁρατά.

'Εν δὲ τῇ Περσίᾳ.

6. Τὸ Ἰσπαὰν, πόλις πρωτεύουσα τῆς Βασιλείας τῶν Περσῶν.

7. Ἡ Βασσόρα, καὶ

8. Ἡ Γαμρὼν, πόλεις ἐμπορικαὶ ἐν τοῖς ὁρίοις τῆς αὐτῆς Βασιλείας κείμεναι.

'Εν δὲ τῷ Μογόλ,

9. Ἡ Ἄγρα, πρωτεύουσα πασῶν τῶν ἐν αὐτῷ πόλεων.

'Εν δὲ τῷ Ἰνδοστὰν,

10. Ἡ Μουλτὰν, πόλις πλουσία, καὶ ἐμπορική.

11. Ἡ Γόα, πόλις ἐμπορικὴ τοῖς Λυσιτανοῖς ὑπείκουσα.

12. Ἡ Τρουγκουεβαρία, ἡ ὑπὸ τοὺς Δάνους, καὶ

13. Τὸ Πονδιχέρι, τὸ ὑπὸ τοὺς Γάλλους.

'Εν δὲ τῇ Γουζαράτῃ,

14. Ἡ Σουράτη, πόλις ὀχυρὰ καὶ ἐμπορική.

'Εν δὲ τῇ νήσῳ Κεϊλάν.

15. Ἡ Κολόμβος.

'Εν δὲ τῇ Ἄυᾳ Βασιλείᾳ, τῇ ἐν τῇ ἀνατολικῇ Ἰνδίᾳ,

16. Ἡ Ἄυα.

'Εν δὲ τῷ Πέγουῳ, ὃ Βασιλεία ἐστὶν ἐν τοῖς δυτικοῖς μέρεσι τῆς Ἀσίας,

17. Τὸ Πέγουον, Pegu.

'Εν δὲ τῇ Βασιλείᾳ τῦ Σιάμ,

18. Τὸ Σιάμ.

'Εν δὲ τῇ χερσοννήσῳ ϗ Βασιλείᾳ τῆς Καμβούας.

19. Ἡ Καμβούα.

'Εν δὲ τῇ Μάλακᾳ.

20. Ἡ Μάλακα.

'Εν δὲ τῇ νήσῳ 'Ιάυᾳ,

21. Ἡ Βαταυΐα πρωτεύυσα τῆς νήσυ, ϗ πάντων τῶν ἐν ταῖς 'Ινδίαις συςημάτων τῶν 'Ολλανδῶν.

'Εν δὲ τῇ νήσῳ Λυκωνίᾳ,

22. Ἡ Μανίλλα, ἡ ὑπὸ τὺς 'Ισπανὺς

'Εν δὲ τῇ Σίνᾳ,

23. Τὸ Πεκὶγγ, πόλις πρωτεύυσα πάσης τῆς τῶν Σίνων Αὐτοκρατορίας.

24. Ἡ Μακάος.

25. Ἡ Καντών.

26. Ἡ Ναγκὶγγ, πόλεις ἐμπορικαί· ἐν δὲ ταῖς δυσὶ τύτων, ταῖς ἐσχάταις, οἱ 'Ολλανδοὶ μεγάλην ποιῦσιν ἐμπορίαν.

'Εν δὲ τῇ 'Ιαπονίᾳ,

27. Ἡ 'Υέδος, πρωτεύυσα πάσης τῆς Αὐτοκρατορίας, ἐν ᾗ ϗ ὁ αὐτοκρατορικὸς θρόνος.

'Εν δὲ τῇ 'Ρωσσικῇ Ταρταρίᾳ, ἐν τῇ Σιβερίᾳ.

28. Ἡ 'Ιενισκία, ϗ

29. Τοβόλκα, ἡ Τοβόλιον, ἐν ᾧ ὁ θρόνος· τῦ ἐπέχοντος τὸν τόπον Βασιλέως.

'Εν δὲ τῇ Αὐτοκεφάλῳ Ταρταρίᾳ,

30. Ἡ Σαμαρκάνδα, ἡ πρὸς τοῖς ὁρίοις τῆς Περσίας.

§. 502. Ποταμοὶ δὲ ἐν τῇ 'Ασίᾳ μεγάλοι ϗ ἐπίσημοι 12.

1. Ὁ Τίγρις, ὁ ἐκ τῶν ὀρέων τῆς Ἀρμενίας ἐκβλύζων, καὶ σὺν τῷ Εὐφράτῃ εἰς τὸν τῆς Βασσόρας κόλπον εἰσρέων.
2. Ὁ Εὐφράτης, ὁ πάντων τῶν ἐπὶ τῆς γῆς ποταμῶν ἐπισημότερος, ὁ τὰς ἀρχὰς ἔχων ἐν τῷ κατὰ τὴν Ἀρμενίαν ὄρει τῷ Ἀραράτ, καὶ τῷ Τίγρει συνενούμενος, καὶ εἰς τὸν Περσικὸν εἰσρέων κόλπον· ὑγιεινὸν δὲ τὸ αὐτοῦ ὕδωρ.
3. Ὁ Ἰνδὸς ὁ ἐν τῇ Ἰνδίᾳ.
4. Ὁ Γάγγης, ὁμοίως, καθάπερ δὲ ὁ Νεῖλος, οὕτω δὴ καὶ οὗτος αὔξει καὶ μειοῦται, καὶ Κροκοδείλους τρέφει, καθαρὸν δὲ τὸ ὕδωρ αὐτοῦ, καὶ χρυσίον περιέχει, καὶ λίθους τιμίους. σέβονται δὲ αὐτὸν οἱ Ἰνδοὶ, ἱερὸν νομίζοντες, καὶ ἐν τοῖς ὕδασιν αὐτοῦ ἀποθανεῖν εὔχονται.
5. Ὁ Μέκων, ὁμοίως ἐν τῇ Ἰνδίᾳ.
6. Ὁ Κιὰν, ἢ Κιάγγ, τουτέστι Κυανὸς, ἐν τῇ Σίνᾳ, ὁ ὀξὺς ταχύτατος.
7. Ὁ Ὀάγγ, ὡσαύτως ἐν τῇ Σίνᾳ.
8. Ὁ Ἀμοὺρ, ὁ ἐν τῇ Σίνων Ταρταρίᾳ.
9. Ὁ Λένας, ὁ ἐν τῇ Ῥοσσικῇ Ταρταρίᾳ.
10. Ὁ Ἰενίσκεας, ὡσαύτως.
11. Ὁ Ὄβυξ, ὁμοίως, καὶ
12. Ὁ Βόλγας, αὐτοῦ.

§. 504. Θάλασσαι μὲν ἐν τῇ Ἀσίᾳ ἐπίσημοι 3.

1. Ἡ Κασπία, ἡ μεταξὺ τῆς μεγάλης Ταρταρίας καὶ τῆς Περσίας.
2. Ὁ Ἰσθμὸς, ὁ Σόνδε, ὁ μεταξὺ τῶν νήσων Σουμάτρας, καὶ Ἰάυας.
3. Ἡ τοῦ Ἀμοὺρ θάλασσα, ἡ μεταξὺ τῆς μεγάλης Ταρταρίας, καὶ τῆς Ἰαπονίας. Λίμνη δὲ μία ἡ Ἀραλία, ἡ ἐν τῇ αὐτοκεφάλῳ Ταρταρίᾳ.

Κόλποι δὲ 4.

1. Ο' Περσικός.
2. Ο' Βεγγάλης, ὁ μεταξὺ τᾶ Μογόλ, ϗ τῆς Ἰνδίας.
3. Ο' Σιὰμ, ὁ ἐν τῇ Ἰνδίᾳ, ϗ
4. Ο' Κοκινκίνης, Cochinchine, αὐτῷ.

Ἀκρωτήρια δὲ ὡσαύτως 4.

1. Τὸ Ῥωσελγάτε ἐν τῇ Ἀραβίᾳ.
2. Τὸ Κόμοριν, ἐν τῷ Μογόλ.
3. Τὸ Σβετόϊ, ἐν τῇ τῶν Σίνων Ταρταρίᾳ.
4. Τὸ Γλάτζες, ἢ Ὕσκαπ, ἐν τῇ Ῥωσσικῇ Ταρταρίᾳ.

§. 504. Εἰσὶ δὲ ἐν τῇ Ἀσίᾳ ϗ ἕτεραι δύω ἐπαρχίαι, ἡ Γυϊνέα μέρος ὖσα τῆς πρὸς τὴν Μεσημβρίαν ἀγνώςε γῆς, ϗ ἡ νέα Ὁλλάνδα, μέρος τῆς κατὰ τὴν Ἄρκτον ἀγνοεμένης χώρας.

§. 505. Περατᾶται δὲ ἡ Ἀσία, κατὰ μὲν Δυσμὰς, ὑπὸ τῆς Εὐρώπης, ὑπὸ τᾶ Εὐξείνε πόντε, καὶ τῆς Μεσογείε θαλάσσης· κατὰ δὲ Μεσημβρίαν, ὑπὸ τῆς ἐρυθρᾶς θαλάσσης, ϗ τῆς Ἰνδικῆς· κατὰ δὲ Ἀνατολὰς ὑπὸ τῆς Συνδίε θαλάσσης, τῆς ϗ Γαληνῆς καλεμένης, κατὰ δὲ Ἄρκτον ὑπὸ τῆς πεπηγμένης θαλάσσης.

§. 506. Τῶν δὲ ἐπ' εὐθείας μεγίςων αὐτῆς ἐκτάσεων, ἡ μὲν κατὰ μῆκος, ἡ ἀπὸ Ἀνατολῆς πρὸς Δύσιν, τετέςιν ἡ ἀπὸ τῆς Σμύρνης ἄχρι τῆς Καμσχάτκας ἴση μιλίοις 1275· ἡ δὲ κατὰ πλάτος, ἡ ἀπὸ Μεσημβρίας πρὸς Ἄρκτον, εἴτεν, ἡ ἀπὸ τῆς Μάλακας ἄχρι τᾶ Ἀκρωτηρίε τᾶ Γλάτζε 1125.

§. 507. Τὸ μὲν τῆς Ἀσίας Μῆκος κεῖται μεταξὺ τῆς 45 ϗ τῆς 200 μοίρας· τὸ δὲ πλάτος τὸ βόρειον, ἄρχεται μὲν ἀπὸ τᾶ Ἰσημερινᾶ, λήγει δὲ εἰς τὴν 74

μοῖραν· τὸ δὲ Μεσημβρινὸν πλάτος, τὸ τῶν νήσων δηλ. τῆς Ἀσίας, ἄρχεται μὲν ἀπὸ τοῦ Ἰσημερινοῦ, ἀπολήγει δὲ εἰς τὴν 12 μοῖραν.

## Σημείωσις.

### (Α) Γενικὴ Διαίρεσις τῆς Ἀσίας.

| Βασίλεια. | Πρωτεύουσαι πόλεις. |
|---|---|
| Ἀσιατικὴ Τουρκία . . . . . | Σμύρνη. |
| Μεγάλη Ταρταρία . . . . | Τοβόλσκ. |
| Κίνα . . . . . . . . . | Πεκίν. |
| Ἰνδία πέραν τοῦ Γάγγου . . . | Σιάμ. |
| Ἰνδία ἔνδον τοῦ Γάγγου . . . | Δελχί. |
| Περσία . . . . . . . . | Ἰσπαχάν. |
| Ἀραβία . . . . . . . . . | Μέκα. |

| Θέσις. | Νῆσοι. | Ἐξουσιασταί. |
|---|---|---|
| Εἰς τὸν Γαληνικὸν Ὠκεανὸν . . | Κουρίλαι . . . . | Ῥῶσσοι καὶ Ἰάπωνες. |
| | Ἰέζο . . . . . | Ἰάπωνες. |
| | Ἰαπὼν . . . . . | Ὁλλανδέζοι. |
| | Λιὼ-Κιὼ . . . | Κινέζοι. |
| | Φορμόζα . . . . | Κινέζοι. |
| | Μαριάναι . . . . | Ἰσπανοί. |
| | Φιλιππῖναι . . . | Ἰσπανοί. |
| | Καρολῖναι . . . . | Ἰσπανοί. |
| | Μολοῦκαι . . . . | Ὁλλανδέζοι. |
| | Νῆσοι Βάνδα, ἢ καὶ Μοσκάδες . . . | Ὁλλανδέζοι. |
| | Σοῦνδα . . . . . | Ὁλλανδέζοι. |
| Εἰς τὸν Ἰνδικὸν Ὠκεανὸν . . . | Ανδαμὰν . . . . | Ὅλα τὰ ἔθνη. |
| | Νικοβὰρ . . . . | Ὅλα τὰ ἔθνη. |
| | Κεϋλὰν . . . . | Ἐγγλέζοι. |
| | Μαλδῖβαι . . . . | Ὅλα τὰ ἔθνη. |
| | Λακκαδῖβαι . . . . | Ὅλα τὰ ἔθνη. |
| Εἰς τὴν μεσόγειον θάλασσαν . . | Κύπρος . . . . | Τοῦρκοι. |

Ὑποθέτουν εἰς τὴν Ἀσίαν 580 μιλιόνια ἐγκατοίκους
εἰς τὴν Εὐρώπην 160
εἰς τὴν Ἀφρικὴν 100
εἰς τὴν Ἀμερικὴν 30

τὸ ὅλον 870

## ΚΕΦΑΛΑΙΟΝ ΚΓ.

## Περὶ τῆς Λιβύης, εἴτουν Ἀφρικῆς. (Μ)

§. 508. Χερσόνησός ἐστιν ἡ Ἀφρικὴ, εἰς δύω μικροῦ δεῖν ἴσα μέρη ὑπὸ τοῦ Ἰσημερινοῦ διατεμνομένη· ἧς τὸ ἐνδότερον μέρος οὐ τοσοῦτον ἐγνωσμένον, ὅσον καὶ τὰ λοιπὰ τρία τοῦ κόσμου μέρη. ἐπεὶ δὲ σχεδὸν ὅλη ὑπὸ τὴν διακεκαυμένην Ζώνην κεῖται· ὑπερβολική ἐστιν ἡ ἐν αὐτῇ θερμότης. Εἰσὶ δὲ τὰ μὲν ἄκρα αὐτῆς λίαν καρποφόρα, καρποὺς ἀρίστους, καὶ φυτὰ φύοντα ἀξιοθαύμαστα· τὰ δὲ περὶ τὸ μέσον, ἄμμου φλογεροῦ, καὶ θηρίων ἀγρίων πλήρη, ἅπερ δὴ καὶ ἀοίκητον αὐτὴν καθιστᾷ.

§. 509. Εἰσὶ μεταξὺ τῶν τῆς Ἀφρικῆς οἰκιστῶν τινὲς μὲν Σκηνῖται, τινὲς δὲ Ἀλῖται, μηδὲν εἶδος διοικήσεως ἔχοντες. Εἰσὶ δὲ ἐν αὐτῇ καὶ Ἀριστοκρατίαι, καὶ Βασιλεῖαι, καὶ Αὐτοκρατορίαι· οἷον ἡ Αὐτοκρατορία τοῦ Μαρόκου, ὑπὸ ἑνὸς διοικουμένη Αὐτοκράτορος· αἱ Βασιλεῖαι τοῦ Ἀλγερίου, τῆς Τούνεσι, καὶ τῆς Τριπόλεως, αἱ ὑπὸ τὴν προστασίαν τοῦ Σουλτάνου, οἷον ἀριστοκρατικῶς διοικούμεναι.

§. 510. Αἱ μὲν ἐν τῇ Ἀφρικῇ θρησκεῖαι τρεῖς, ἡ τῶν Χριστιανῶν, ἡ τοῦ Μωάμεθ, καὶ ἡ τῶν εἰδωλολατρῶν· αἱ δὲ διάλεκτοι, πολλαὶ, ἡ καθ' ἡμᾶς Ἑλληνὶς, ἡ τῶν Κοπτῶν, (φθορὰ τῆς Ἑλληνίδος οὖσιν, ὥς φασι) ἡ τῶν Κάφρων (ἔθνος τῆς Αἰθιοπίας οἱ Κάφροι ἄπολι, καὶ ἄνομον) καὶ ἄλλαι πολλαὶ ἐν τῇ Εὐρώπῃ ἀγνοούμεναι.

§. 511. Οἱ τῆς Ἀφρικῆς οἰκισταὶ θερμοὶ τὴν κρᾶσιν εἰσὶ, καθάπερ καὶ τὸ ὑπ' αὐτῶν οἰκούμενον κλίμα· οἱ δὲ Ἰθαγενεῖς μικροῦ δεῖν ἅπαντες, ἀπολίτευτοι, ἄγριοι, καὶ θηριώδεις, λίαν δ' οὖν ὅμως λεπτόνοες ἐν πᾶ-

σι τοῖς εἰς τὸ ἑαυτῶν ἀφορῶσι κέρδος· ἢ οἱ πολιτικώτεροι δὲ ἢ εὐγενέστεροι αὐτῶν θηριωδίαν ὄζουσι τῇ τῶν Εὐρωπαίων εὐγενείᾳ ἐταζόμενοι.

§. 512. Τὸν ἀριθμὸν τῶν τῆς Ἀφρικῆς πολιστῶν ἴσον ἡγοῦνται περίπου 150,000,000.

§. 513. Μέρη δὲ τῆς Ἀφρικῆς κυριώτερα, εἰς ἃ διαιρεῖται, πέντε πρὸς τοῖς δέκα.

1. Ἡ Βαρβαρία, περιέχουσα Βασίλεια 5, ἢ μίαν ἐπαρχίαν.
   1. Τὸ τοῦ Τύνεσι, ἐν ᾧ ἢ τὸ τῆς Τριπόλεως.
   2. Τὸ Ἀλγερινόν, ἢ Τρεμεσινόν.
   3. Φεσσανόν.
   4. Μαῤῥοκανόν, ἢ
   5. Ταφελετανόν, ἢ
   6. Τὴν Βαρκανὴν ἐπαρχίαν.
2. Ἡ Βιλεδουλγερίδ, ἐν ᾗ ἡ τῶν παλαιῶν Γαιτουλία, ἢ ἡ Νουμιδία.
3. Ἡ Ζααρά, ἢ Σαῤῥά, τουτέστιν ἡ ἔρημος.
4. Ἡ Νιγριτία, ἢ Αἰθιοπία.
5. Ἡ Γουϊνέα, παράλιος ἄκρα τῆς Αἰθιοπίας δυτική, ἐν ᾗ
   Ἡ Μαλαγουέττα παράλιος ἄκρα.
   Ἡ Κοσεδεσέντ, la cote des dentes, τουτέστιν ἡ ἄκρα τῶν ὀδόντων, οὕτω κληθεῖσα, διὰ τὸ πλῆθος τῶν ἐν αὐτῇ εὑρισκομένων ἐλεφαντίνων ὀδόντων, ἢ
   Ἡ Κοσεδόρ, Cote d'or, εἴτουν ἡ ἄκρα τοῦ χρυσίου, οὕτω κληθεῖσα διὰ τὴν ἐν αὐτῇ εὑρισκομένην τοῦ χρυσίου κόνιν.
6. Τὸ Κόγγον τὸ ἐν ἄκρᾳ, τὸ περιέχον Βασίλεια 3.
   1. Λοάγγον.
   2. Κόγγον.

3. Ἄγγολαι.

7. Ἡ Καφρία ὁμοίως, ἐν ᾗ οἱ Ὀττεντόται, ἀλῖται, γυμνοὶ, θηρευταὶ, καὶ ποιμένες, ἀνδρεῖοι, ἐπιτήδειοι τῇ τῶν ὅπλων χρήσει, ἐργαστικοὶ, προπέτεις, φιλελεύθεροι, μακρόβιοι, μελανώτατοι, δυσωδέστατοι, ἅτε δὴ κόπρῳ βοῶν καὶ προβάτων ἀλειφόμενοι, καὶ μικροῦ δεῖν ἄθρησκοι. διαιρεῖται δὲ ἡ χώρα αὐτῶν εἰς ἐπαρχίας 14· ἰδίους ἐχούσας ἡγεμόνας.

8. Ἡ Ζαγγυεβαρία ἐν ἄκρα,

9. Ἡ Ἀϊανία, ἡ ἐν τῇ ἀνατολικῇ ἄκρα,

10. Ἡ Ἀβεξία, ἡ ἐν τῷ δυτικῷ πέρατι τῆς ἐρυθρᾶς θαλάσσης,

11. Ἡ Αἴγυπτος,

12. Ἡ Νυβία,

13. Ἀβυσσινία,

14. Τὸ Μονοεμῦγι, καὶ

15. Μονομοτάπα,

§. 514. Νῆσοι ἐν τῇ Αἰγύπτῳ ἐπισημότεραι αἱ ἑξῆς.

Αἱ Κανάριαι, αἱ τὸ πάλαι νῆσοι τῶν Μακάρων καλούμεναι, ἀπέναντι τῆς Βαρβαρίας κείμεναι, ὧν αἱ μείζονες ἑπτά.

1. Ἡ Πάλμα,

2. Ἡ τοῦ Φέρου, ἧς ἐν τῷ δυτικῷ πέρατι ὁ πρῶτος Μεσημβρινὸς, ἀφ᾽ οὗ οἱ Γάλλοι τὰ Μήκη καταμετρεῖν ἄρχονται· ἀπὸ τῆς αὐτῆς δὲ νήσου καὶ ὁ Πτωλεμαῖος τὰ Μήκη κατεμέτρει.

3. Ἡ Γομέρα.

4. Ἡ Τενερίφα, ἐν ᾗ τὸ ὑψηλότατον ὄρος τοῦ Πίκου, ἐν ᾧ ὁ πρῶτος Μεσημβρινὸς τοῦ Μήκους κατὰ τοὺς Ὀλλανδούς.

ς. Ἡ μεγάλη Καναρία.
6. Φερτεβεντύρα, ϗ
7. Λαγκερότα, ἅπασι δὲ ὑπὸ τὴν τῶν Ἱσπανῶν εἰσὶν ἐξυσίαν κατὰ τὸ 1417. ἔτος ὑπ' αὐτῶν κατακυριευθεῖσαι. Ἐςὶ δὲ ἡ μὲν ἐν αὐταῖς γῆ πάντων τῶν πρὸς τὸ ζῆν ἀναγκαίων καρποφόρος, μάλιςα δὲ κριθῆς, ϗ καλάμων Σάκχαρος, ϗ ἐκλεκτῦ οἴνυ· ἡ δὲ περὶ αὐτὰς θάλασσα ἰχθυοτρόφος· εἰσὶ δὲ οἱ τύτων οἰκιςαὶ, ὑπομέλανες, ῥωμαλαῖοι μεγαλόψυχοι, ἐγρήγοροι, ὀξύνοες, ϗ πολυφάγοι, ϗ μηδεμιᾶς ἑτέρας ἀνεχόμενοι θρησκείας, πλὴν τῆς Ῥωμαϊκῆς.

Αἱ τῦ Καπβέρδη, αἱ τὸ πάλαι Ἑσπερίδες ϗ Γοργάδες καλύμεναι, ϗ τοῖς Λυσιτανοῖς ὑποκείμενοι, δώδεκα τὸν ἀριθμόν.

Αἱ τῆς Αἰθιοπίας, ἢ τῆς Γυϊνέας, εἴτυν ἡ Ἀννοβόνα, d'Annobon, ἡ τῦ Ἁγίυ Θωμᾶ, de S. Thomas, ἡ τῦ Πρίγκιπος, ϗ ἡ τῦ Φερδινὰνδ Πὸ, αἱ ὑπὸ τὺς Λυσιτανύς.

Ἡ Μαδαγασκαρία, ἡ ἐν τοῖς ἀνατολικοῖς μέρεσι τῆς Ἀφρικῆς, ἡ ὑπὸ τῶν Λυσιτανῶν κατὰ τὸ 1492. ἔτος εὑρεθεῖσα· τρέφει δὲ ἡ ἐν αὐτῇ γῆ ἅπαντα τὰ τῶν ζώων εἴδη, ὅσα ϗ ἡ Εὐρώπη, ἔτι δὲ ϗ ἄλλα πολλὰ ἡμῖν ἄγνωςα· ϗ λίθυς πολυτίμυς παντὸς εἴδυς ἐμπεριέχει· γίνεται δὲ ἐν αὐτῇ ϗ τεσσάρων εἰδῶν μέλι, ὧν τὸ ἓν, τὸ κατασκευαζόμενον ὑπὸ τῶν μυῶν τῶν καλυμένων Σακάνδρο, ὅμοιον ὂν τῷ Σάκχαρι, θεραπευτικόν ἐςι τῶν ςηθαλγικῶν νοσημάτων, ϗ τῦ ἄσθματος. τὸ δὲ πλεῖςον μέρος τῶν οἰκιςῶν αὐτῆς τὰ Μανιχαίυ, ϗ τῦ Μωάμεθ θρησκεύει. διαιρεῖται δὲ ἅπασα ἡ χώρα εἰς πολλὰς ἡγεμονίας, πόλεμον ἀδιάλειπτον

μεταξὺ ἐχούσας. ᾤκησαν δὲ ἐν αὐτῇ ποτὲ οἱ Λουσιτανοὶ, καὶ οἱ Γάλλοι, ἀλλ' ὑπὸ τῶν Ἰθαγενῶν ἐξώσθησαν.

Αἱ τοῦ Ἀμεράντου πολλαὶ νῆσοι, καὶ μεταξὺ τοῦ Ἰσημερινοῦ καὶ τῆς Μαδαγασκαρίας νήσου κείμεναι.

§. 515. Αἱ ἐν τῇ Ἀφρικῇ πρωτεύουσαι πόλεις, καὶ ἐπίσημοι 26.

Ἐν μὲν τῇ Βαρβαρίᾳ,

1. Ἡ Φετζ, ἡ παλαιὰ Οὐολουβολὶς, πρωτεύουσα πάσης τῆς Βαρβαρίας,
2. Σαλέα, παραθαλάσσιος πόλις,
3. Τὸ Ἀλγέριον, παραθαλάσσιος πόλις, καὶ πρωτεύουσα τῆς ὁμωνύμου αὐτῇ Ἀριστοκρατίας,
4. Ἡ Τύνεσις πρωτεύουσα τῆς ὁμωνύμου αὐτῇ Ἀριστοκρατίας, καὶ
5. Τρίπολις τῆς Τριπόλεως.

Ἐν δὲ τῷ Μαρόκῳ,

6. Ἡ Μαρόκ πρωτεύουσα τῶν ἐν τῇ ὁμωνύμῳ αὐτῇ Βασιλείᾳ πόλεων.

Ἐν τῇ Βιλεδουλγερίδ.

7. Ἡ Ταφιλέτη.

Ἐν δὲ τῇ Νιγριτίᾳ, ἢ Αἰθιοπίᾳ,

8. Ἡ Βόρνεως, καὶ
9. Τὸ Τομβοῦτον.

Ἐν δὲ τῇ Γουϊνέᾳ.

10. Τὸ Βενὶν, πρωτεύουσα, καὶ
11. Ἡ Δελμίνη πόλις ὀχυρὰ μετὰ λιμένος ὑπὸ τοὺς Ὁλλανδούς.

Ἐν τῷ Λοάγγῳ.

12. Τὸ Λοάγγον πόλις πρωτεύουσα, ἐν ᾗ ὁ τοῦ Βασιλέως θρόνος.

'Εν τῷ Κόγγῳ,

13. Ο' Σὰν Σαλβαδὸρ, ἤτοι ὁ Ἅγιος Σωτὴρ, πόλις πρωτεύουσα, Κόγγον πρότερον καλουμένη.

'Εν τῇ Ἀγγόλᾳ,

14. Η' Λοάνδα πρωτεύουσα, ϗ

15. Βεγγουέλα πόλις παραθαλάσσιος.

'Εν δὲ τῇ Καφρίᾳ,

16. Η' Σόφαλα, παραθαλάσσιος πόλις.

'Εν δὲ τῇ Ζαγγουεβαρίᾳ,

17. Η' Μοσαμβίκη, πρωτεύουσα, ἐμπορικωτάτη, λιμένα εὐρύχωρον ἔχουσα, ϗ τοῖς Λουσιτανοῖς ὑπείκουσα,

18. Η' Κυϊλόα,

19. Μομβάζα, ϗ

20. Μελίνδης, πόλεις παραθαλάσσιοι.

'Εν δὲ τῇ Ἀϊανίᾳ,

21. Τὸ Μεγάδοξον, πόλις πρωτεύουσα, ϗ παραθαλάσσιος.

'Εν δὲ τῇ Ἀβυσσινίᾳ.

22. Τὸ Γόνδαρ, πόλις πρωτεύουσα.

'Εν δὲ τῇ Νουβίᾳ.

23. Η' Νουβία, ἢ Σένιαρ πρωτεύουσα, ϗ

24. Δάγγολα, ἢ Δόγκαλα πόλις παραθαλάσσιος.

'Εν δὲ τῇ Αἰγύπτῳ,

25. Η' Κάϊρος, ἡ ἐπὶ τῶν λειψάνων τῆς Μέμφεως ἀνεγερθεῖσα, ϗ

26. Η' Ἀλεξάνδρεια, ἡ ποτὲ ἐπισημοτάτη.

§. 516. Ποταμοὶ δὲ μεγάλοι ἐν τῇ Ἀφρικῇ 7.

1. Ο' Νεῖλος, ὁ τὴν Αἴγυπτον ἀρδεύων, ϗ δι' ἑπτὰ στομάτων εἰς τὴν μεσόγειον εἰσρέων θάλασσαν.

2. Ο' Νίγρος, ὁ ἐν τῇ Νιγριτίᾳ, ὁ τὰς αὐξομειώ-

σεις κατὰ τὸν αὐτὸν χρόνον πάσχων, καθ' ὃν ἢ ὁ Νεῖλος.

3. Ὁ Σένεγαλ, ὁ ἐν τῇ Νιγριτίᾳ τὰς ἀρχὰς ἔχων, ἢ εἰς τὸν Ἀτλαντικὸν Ὠκεανὸν εἰσρέων,

4. Ὁ Γάμβιας, ὁ ἐν τῇ Γουϊνέᾳ.

5. Ὁ Ζαῖρος, ὁ διὰ τοῦ Κόγγου εἰς τὸν δυτικὸν Ὠκεανὸν εἰσρέων.

6. Ὁ Κουένις, ὁ ἐν τῷ Μονοεμοῦγι, ἢ

7. Ὁ Κύαμας, ὁ ἐν τῷ Μονομοτάπᾳ.

§. 517. Ἀκρωτήρια δὲ ἐν τῇ Ἀφρικῇ 10.

Ἐν μὲν τῇ Βαρβαρίᾳ,

1. Τὸ Καντίν.

Ἐν δὲ τῇ Ζααρᾷ,

2. Τὸ Λευκὸν, le Blanc.

Ἐν δὲ τῇ Γουϊνέᾳ,

3. Τὸ Πράσινον, le Verd,

4. Πάλμας, ἢ

5. Τριῶν ἄκρων, de trois pointes.

Ἐν δὲ τῷ Κόγγῳ,

6. Τὸ Μέλαν, le Noir.

Ἐν δὲ τῇ Καφρίᾳ,

7. Τὸ τῆς Καλῆς ἐλπίδος, de Bonne espérance, ἢ

8. Κορρέντης, Correntes.

Ἐν δὲ τῇ Ζαγγυεβαρίᾳ,

9. Τὸ Γαρδο,

Ἐν δὲ τῇ Ἀϊαίᾳ,

10. Τὸ Γυαρδαφουΐ.

§. 518. Ὄρη δὲ ἐν τῇ Ἀφρικῇ τὰ ἐπισημότερα,
Τὰ τοῦ Ἄτλαντος τὰ πᾶσαν διατέμνοντα τὴν Βαρβαρίαν, ἢ
Τὰ τῆς Σελήνης τὰ ἐν τῇ τοῦ Μονοεμοῦγι ἐπαρχίᾳ.

§. 519. Πέρατα δὲ τῆς Ἀφρικῆς, κατὰ μὲν Δυσμάς, ἡ Ἀτλαντικὴ, καὶ ἡ τῆς Αἰθιοπίας θάλασσα· κατὰ δὲ Μεσημβρίαν, ἡ θάλασσα τῶν Κάφρων· κατὰ δὲ Ἀνατολὰς ἡ Ἰνδικὴ καὶ ἡ Ἐρυθρὰ θάλασσα καὶ ἡ Ἀσία· κατὰ δὲ Βοῤῥᾶν ἡ Μεσόγειος θάλασσα.

§. 520. Τῶν δὲ ἐπ' εὐθείας μεγίστων αὐτῆς ἐκτάσεων, ἡ μὲν κατὰ μῆκος, ἡ ἐπ' Ἀνατολῆς πρὸς Δύσιν, τουτέστιν ἡ ἀπὸ τοῦ Ἀκρωτηρίου τοῦ Γουαρδαφοῦ ἄχρι τοῦ Πρασίνου Ἀκρωτηρίου ἴση μιλίοις 1,050· ἡ δὲ κατὰ πλάτος, ἡ ἀπὸ Μεσημβρίας πρὸς Βοῤῥᾶν, ἡ ἀπὸ τοῦ ἀκρωτηρίου τῆς Καλῆς ἐλπίδος ἄχρι τῆς ἐν Βαρβαρίᾳ Τύνεσις 1,095.

§. 521. Τὸ μὲν Μῆκος τῆς Ἀφρικῆς ἄρχεται ἀπὸ τῆς 1 μοίρας, καὶ ἐπεκτείνεται ἄχρι τῆς 70· τὸ δὲ Πλάτος τὸ μὲν Βόρειον ἀπὸ τοῦ Ἰσημερινοῦ ἄχρι τῆς 36· τὸ δὲ Μεσημβρινὸν ἀπὸ τοῦ Ἰσημερινοῦ ἄχρι τῆς 34.

## Σημείωσις.

(M) Γενικὴ Διαίρεσις τῆς Ἀφρικῆς.

| | Βασίλεια. | Πρωτεύουσαι πόλεις. |
|---|---|---|
| | Πρὸς Ἄρκτον. | |
| Βαρβαρία | Μαρόκ . . . . . . . | Φέζ. |
| | Ἄλγγιερ . . . . . . | Ἄλγγιερ. |
| | Τύνις . . . . . . . | Τύνις. |
| | Τρίπολις . . . . . . . | Τρίπολις. |
| [illegible] Αἰθιοπία | Βιλεδουλγγερίδ . . . . . | Γαδάμ. |
| | Αἴγυπτος . . . . . . | Κάϊρον. |
| | Νουβία . . . . . . . | Σέναρ. |
| | Ἀβισσινία . . . . . . | Γονδάρ. |
| | Ἀβέξ . . . . . . . | . . . |
| | Σάχρα . . . . . . . | Τεγγάζα. |
| | Νιγριτία . . . . . . | Χάσσα. |
| | Γουϊνία . . . . . . . | Βενίν. |

## Πρὸς Νότον.

| | | |
|---|---|---|
| Ἀ | Λοάνγγο . . . . . . . | Λοάνγγο. |
| | Κόνγγο . . . . . . . | Ἁγ. Σαλβαδόρ. |
| | Ἀνγγόλα . . . . . . | Λοάνδα. |
| | Βινγγίλα . . . . . . | Βινγγίλα. |
| | Ματαμὰν . . . . . . | . . . . . . . . . |
| Καφραρία | Ἀκρωτ. τῆς Καλῆς Ἐλπίδ. | Ἀκρωτ. τῆς Καλ. Ἐλπίδ. |
| | Γῆ τοῦ Νὰτ . . . . . | . . . . . . . . . |
| | Μονομοτάπα . . . . . | Μονομοτάπα. |
| | Σοφάλα . . . . . . . | Σοφάλα. |
| | Μονοέμυγγι . . . . . | Χικόβα. |
| | Ζανγγιβὰρ . . . . . . | Μελίνδα. |
| | Ἀιὰν . . . . . . . . | Βράβα. |

Νῆσοι. Ἐξουσίαι.

| | |
|---|---|
| Βάβελ-Μάνδελ, εἰς τὸν πορθμὸν τῆς Ἐρυθρᾶς θαλάσσης . . . . . . . . . . | Ὅλα τὰ ἔθνη. |
| Νῆσοι Κομόραι . . . . . . . . . . . | Ὁμοίως. |
| Μαδεγασκὰρ . . . . . . . . . . . | Ὁμοίως. |
| Νῆσος τῆς Γαλλίας εἰς τὸν δυτικὸν Ὠκεανὸν | Ἡ Γαλλία. |
| Νῆσος Ῥευνιὸν εἰς τὸν αὐτὸν . . . . . . | Ὁμοίως. |
| Ἁγία Ἑλένη εἰς τὸν Ἀτλαντικὸν Ὠκεανόν. | Ἀγγλία. |
| Ἀσσενσιὸν εἰς τὸν αὐτὸν . . . . . . | Ἀκατοίκητος. |
| Ἅγιος Ματθίας εἰς τὸν αὐτὸν . . . . . | Ὁμοίως. |
| Ἅγιος Θωμᾶς . . . . . . . } εἰς τὸν αὐτὸν | Πορτογαλλία. |
| Ἀννοβὸν Νῆσος τοῦ Πρίγγιπος Φερνάνδ Πο . . . . . . . . } εἰς τὸν αὐτὸν | Πορτογαλλία. |
| Νῆσοι τοῦ Ἀκρωτηρίου Βὲρδ εἰς τὸν αὐτὸν . | Ὁμοίως. |
| Γορέα εἰς τὸν αὐτὸν . . . . . . . . | Γαλλία. |
| Καναρίαι εἰς τὸν αὐτὸν . . . . . . . . | Ἰσπανία. |
| Μαδέρα εἰς τὸν αὐτὸν . . . . . . . . | Πορτογαλλία. |
| Ἀζόραι, ἢ δυτικαὶ Νῆσοι εἰς τὸν αὐτὸν . | Ὁμοίως |

## ΚΕΦΑΛΑΙΟΝ ΚΔ.

## Περὶ τῆς Ἀμερικῆς. (N)

§. 522. Ἡ Ἀμερικὴ, ἣν πρῶτος εὗρε κατὰ τὸ 1492 ἀπὸ Χριϛοῦ τοῦ Σωτῆρος ἔτος Χριϛοφόρος ὁ Κολόμβος, ὁ Γενουήνσιος, τὴν κλῆσιν ἔσχεν Ἀμερίκου Οὐεσπουκίου τοῦ ἐκ Φλωρεντίας ὁρμωμένου, καὶ μετὰ τὸν Κολόμβον, εἴτουν ἔτει 1497 ἐκεῖ παραγενομένου· καλεῖται δὲ ἡ αὐτὴ καὶ δυτικὴ Ἰνδία, καὶ Καινὸς κόσμος, ὡς νεοφανὴς τοῖς τῶν λοιπῶν τοῦ κόσμου τριῶν μερῶν οἰκιςαῖς.

§. 523. Τὰ μὲν ἐν αὐτῇ Κλίματα διάφορα κατὰ τὰς ἐν αὐτῇ διαφόρους Ζώνας· ἡ δὲ γῆ μικροῦ δεῖν πανταχῇ καρποφορωτάτη, καὶ γὰρ ἀρίςους φύει καρποὺς Σάκχαρ, Καφφὲ, Κακάο, καὶ πλῆθος θεραπευτικῶν βοτάνων, καὶ χρυσίον δὲ πολὺ ἐμπεριέχει, καὶ ἀργύριον, καὶ λίθους πολυτίμους.

§. 524. Οἱ τόποι, οὓς τὸ πρῶτον ἐν τῇ Ἀμερικῇ οἱ Εὐρωπαῖοι εὗρον, Λαοαγέλαι ἐν αὐτοῖς ἦσαν, διαφόρους ἔχουσαι διοικήσεις, ἅπας δὲ σχεδὸν συμμίατους· τὰ νῦν δὲ οἱ τόποι ἐκεῖνοι ἐπαρχίαι εἰσὶν ὑπὸ τὴν ἐξουσίαν Βασιλειῶν τινων τῆς Εὐρώπης, ὑπὸ Διοικητῶν διοικούμεναι, ὧν τινὲς καὶ τόπον Βασιλέως ἐπέχουσιν.

§. 525. Ἦσαν μὲν τὸ πρότερον, ὡ ἐδόκουν, οἱ τῆς Ἀμερικῆς οἰκιςαὶ ἡλιολάτραι, καὶ εἰδωλολάτραι· νῦν δὲ ἐν μὲν ταῖς τῶν Εὐρωπαίων ἀποικίαις, κἂν τῷ Μεσημβρινῷ αὐτῆς μέρει, Χριςιανοὶ πολλοὶ, ἐν δὲ τῷ βορείῳ μέρει, αἱ πλείωνες Λαοαγέλαι ἔτι τὰς πατρίους θρησκεύουσιν ἀπάτας.

526. Διάφοροι αἱ ἐν τῇ Ἀμερικῇ διάλεκτοι, μηδεμίαν σχέσιν ἔχουσαι ταῖς ἐν τοῖς λοιποῖς τοῦ κόσμου με-

ρεσι, ϗ πολὺ ἐλλειπέςεραι τῆς τελειότητος, ἧς μετέχεσιν αἱ πλείονες τῶν ἐν τῇ Εὐρώπῃ ϗ Ἀσίᾳ.

§. 527. Οἱ μὲν τὰς τῆς Ἀμερικῆς οἰκεςὰς, ἀμέλειτει τὰς Ἰθαγενεῖς, ἀφυεῖς εἶναί φασι, ϗ χάυνες, ϗ ἐκδικητικὰς, ϗ δεισιδαίμονας, οἱ δὲ εὐφυεῖς ϗ ἐπιτηδείας, ϗ ἀγαθὰς δὲ τὰς μὴ ἐπεισάκτε μεταςχόντας πονηρίας.

§. 528. Τὸν ἀριθμὸν τῶν τὴν Ἀμερικὴν οἰκούντων, οἱ μὲν ἴσον εἶναί φασιν 150,000,000, οἱ δὲ μόνον 100,000.000.

§. 529. Διαιρεῖται δὲ ἡ Ἀμερικὴ εἰς δύω καθολικώτατα μέρη, ὑπὸ τε κόλπε τε Μεξίκε, ϗ τε ἰσθμε τε Παναμα·

1. Εἰς Ἀμερικὴν Βόρειον.

2. Εἰς Ἀμερικὴν Νότιον.

Τέτων ἡ μὲν Βόρειος ὑποδιαιρεῖται εἰς ἐπαρχίας 6.

1. Εἰς τὴν νέαν Ἱσπανίαν τὴν ϗ Μέξικον καλεμένην, ἥτις πρότερον μὲν Αὐτοκρατορία ἦν, νῦν δὲ ὑπὸ ἄρχοντος Ἱσπανε διοικεῖται, τόπον Βασιλέως ἐπέχοντος, ϗ κατὰ πᾶσαν πενταετηρίδα μεταβαλλομένου. διαιρεῖται δὲ εἰς ἐπαρχίας εἴκοσι ϗ τρεῖς, ὧν πρωτεύεσα τὸ Μέξικον. ἐμπεριέχει δὲ ἡ ἐν αὐτῇ γῆ χρυσίον ϗ ἀργύριον, ϗ σίδηρον, ϗ ςυπτηρίαν· πρῶτοι δὲ εὑρεταὶ τε Μεξίκε γεγόνασιν οἱ Ἱσπανοὶ κατὰ τὸ 1518 ἔτος.

2. Εἰς τὸ Νεομέξικον, le nouveau Méxique, τὸ πολυάνθρωπον, καὶ ὑπὸ ἀγρίων ἀνθρώπων οἰκούμενον· ὃ κατὰ τὸ 1553. ἔτος, οἱ Ἱσπανοὶ εὗρον, συνημμένη δὲ αὐτῷ ἐςιν ἡ χερσόννησος τῆς Καλιφορνίας· ἧς σπερματοφόρος μὲν ϗ ὀπωροφόρος ἡ γῆ, ὑγιει-

νώτατος δὲ ὁ ἀὴρ, ϗ ἰχθυοτρόφος ἡ περὶ αὐτὴν θάλασσα, ϗ μαργαριτοφόρος. πίπτει δὲ ἐπ᾽ αὐτῆς σὺν τῇ δρόσῳ κατὰ τὸν Ἀπρίλλιον, ϗ Μαΐου, ϗ Ἰούνιον μῆνα εἶδος μάννα, ὅπερ ἐπὶ τῶν φύλλων τῶν ῥόδων πηγνύμενον γλυκύ ἐστι, καθάπερ τὸ Σάκχαρ· οἱ δὲ πολῖται αὐτῆς Σεληνολάτραι μέν εἰσιν, ϗ αὐτόνομοι· ἑκάστη γὰρ οἰκία νόμους ἔχει ἰδίους· ἐγρήγοροι δὲ ϗ φύσει σιῶπται· τὸ νήθειν δὲ ἐπιτήδευμα ἔχουσι· γυναῖκες γὰρ ϗ ἄνδρες νήθουσι, τοῖς Ἱσπανοῖς δὲ ὑπόκεινται.

3. Εἰς τὴν Φλόριδαν τὴν ὑπὸ τοὺς Ἄγγλους, ἐν ᾗ πάντα τὰ τῶν τετραπόδων ϗ πτηνῶν εἴδη· οἱ δὲ οἰκισταὶ αὐτῆς ὑπομέλανές εἰσι, μικροῦ δεῖν γυμνοί, ἐπιτήδειοι, μεγαλόψυχοι, ἀπηνεῖς εὔμορφοι, ϗ εὐπρόσιτοι. Ἡλιολάτραι δὲ τὴν θρησκείαν, θύοντες τῷ Ἡλίῳ, ϗ ἐσθίοντες τοὺς νόμῳ πολέμου κρατηθέντας. ϗ ταχυδρόμοι δὲ ϗ κολυμβηταὶ ἄριστοι· ϗ γὰρ ϗ τὰ γύναια αὐτῶν κολυμβῶσι τὰ νήπια, ἐν ταῖς ἀγκάλαις αὐτῶν κατέχοντα. περιέχει δὲ ἡ φλόριδα ἐπαρχίας 4.

1. Τὴν Λουϊσιάνναν.
2. — Ἱσπανικὴν φλόριδαν.
3. — Νέαν Γεωργίαν, ϗ
4. — Μέρος τῆς Καρολίνας.

4. Εἰς τὴν Κάναδαν, ἢ νέαν Γαλλίαν, nouvelle France, τὴν ὑπὸ τὴν ἐξουσίαν τῶν Ἄγγλων. Ἔστι δὲ ἡ χώρα αὕτη μικροῦ δεῖν τῇ Εὐρώπῃ ἰσομεγέθης· τὸ δὲ γεωργηθὲν αὐτῆς μέρος λίαν σπερματοφόροντε ϗ ὀσπριοφόρον, οἱ δὲ ἐν αὐτῇ δρυμοὶ πλήρεις ἀγρίων ἀμπέλων ϗ θρεασίμων ζώων, αἱ δὲ ἐν αὐτῇ λίμναι ϗ οἱ ποταμοὶ ἰχθύων πλήρεις. ἄγριοι δὲ οἱ πολῖται αὐτῆς, ἀλῆται, θηροτρεφόμεναι, μῖμοι, γρήγοροι, ἀκάματοι,

φιλελεύθεροι, ἢ ἓν ὁμολογῦντες πρῶτον πνεῦμα, ἢ ἕτερα ἐπιτροπικὰ, οἷς περ δὴ θύυσι, καθάπερ ἢ τῷ Ἡλίῳ· ἐκτὸς δὲ τῶν ἀγρίων τύτων οἰκῦσι τὴν Κάναδαν περίπυ 30,000 Γάλλοι διοικηταὶ ἢ ἐπίσκοπον ἔχοντες.

5. Εἰς τὴν Βιργινίαν τὴν κατὰ τὸ 1585. ἔτος ὑπὸ τῶν Ἄγγλων εὑρεθεῖσαν. Ἐν αὐτῇ ὁ μὲν ἀὴρ εὔκρατος ἐ τῇ Ιδιοσυγκρασίᾳ τῶν κρατύντων αὐτὴν Ἄγγλων κατάλληλος, ἡ δὲ γῆ λίαν καρποφόρος, ἢ Νικοτιανῆς πλῆθος φύυσα· οἱ δὲ Ἰθαγενεῖς γυμνοὶ περινοςῦσι, σφραγῖδα ἐπὶ τῶν ὤμων ἔχοντες, δηλῦσαν τίνος δεσπότυ εἰσὶ δῦλοι. λατρεύυσι δὲ παν τὸ ἐκφοβῦν αὐτὺς, ἢ ἐξόχως τὸν διάβολον, ὥπερ Νικοτιανὴν ἢ ςεαρ θύυσιν. Ἔχυσι δ᾽ ὖν ὅμως καί τινα ἰδέαν ὑπερτάτυ θεῦ ἢ δημιυργῦ τῦ παντός. ὁ δὲ ἀριθμὸς αὐτῶν κατὰ τὴν ἐν ἔτει 1703 ὑπὸ τῶν Ἄγγλων γενομένην, ἐπαρίθμησιν ἴσος εὕρηται 60,606· τύτων δὲ ςρατεύματα τακτικὰ 9.500· περιέχει δὲ ἡ Βιργινία ἐπαρχίας 7.

1. Τὴν Γεωργίαν.
2. — Καρολίναν.
3. — Κυρίως Βιργινίαν.
4. — Μαριλανδίαν.
5. — Πενσιλβανίαν.
6. — Νέαν Ὑόρκ, ἢ Ὑορκίαν.
7. — Νέαν Ἀγγλίαν.
8. — Ἀκαδίαν, ἢ
9. Νέαν Σκωτίαν.

6. Εἰς τὴν νέαν Βρεταννίαν, τὴν χερσόννησον, τὴν περιέχυσαν χώρας 2.

1. Τὴν τῶν Ἐσκιμάυξ, ἔθνυς ἀγρίυ, ἱματισμένυ μὲν

κατὰ πάντα καιρὸν, ὠμοφάγυ δὲ, ᾗ μόνυ ἐκ τῶν τῆς Ἀμερικῆς πολιςῶν μὴ ἡμερωμένυ, ᾗ

2. Λοβραδὸρ, ἢ Ἐςοτιλανδίαν, την ψυχροτάτην, ᾗ ὑπὸ ἀγρίων ἀνθρώπων οἰκυμένην.

Ἅπασαι αἱ ἐπαρχίαι αὗται, αἱ ἀπὸ τῦ ἰσθμῦ τυ καλυμένυ Δάβις, ἄχρι τῆ ἐπιςομίυ τῦ ποταμῦ Μισσισιππίυ (Μισσισπίυ) ὑπὸ τὴν τῶν Ἄγγλων εἰσὶν ἐξυσίαν.

Ἡ δὲ Νότιος Ἀμερικὴ ὑποδιαιρεῖται εἰς ἐπαρχίας 7.

1. Εἰς τὴν ἤπειρον, ἐν ᾗ οἱ Ὀλλανδοὶ ἔχυσι τὰς κυριωτέρας αὐτῶν ἀποικίας.

2. Εἰς τὸ Περὺ, ἢ Περυβίαν· ἥτις ἔκπαλαι μὲν Αὐτοκρατορία ἦν, τῦ αὐτοκράτορος αὐτῆς κραταιοτάτυ ὄντος, ᾗ Ὕγκας καλυμένυ, κατὰ δὲ τὸ 1557. ἔτος τοῖς Ἱσπανοῖς ὑπετάγη· ἔκτοτε δὲ ὑπὸ τῶν Ἱσπανῶν οἰκεῖται ἡ Περυβία ᾗ αὐτοχθόνων, ὧν μέρος μὲν τὴν εἰς χριςὸν πίςιν ἐδέξατο, ᾗ τοῖς Ἱσπανοῖς ὑπείκει, μέρος δὲ αὐτοκέφαλόν ἐςι ᾗ εἰδωλολατρεύει. Ἔςι δὲ ἡ χώρα πλυσιωτάτη διὰ τὰ ἐν αὐτῇ μέταλλα, τὸ χρυσίον δηλαδὴ ᾗ ἀργύριον, κτ. πεπληρωμένη δὲ ἐςὶν ὀρέων ὑψηλῶν ᾗ ἐπικεκαλυμμένη δρυμοῖς, διάφορα ζώων εἴδη περιέχυσι. ᾗ μέρος μὲν τῶν ἐν αὐτῇ πεδιάδων καρποφόρον ἐςὶ, μέρος δὲ ἄκαρπον· ᾗ γὰρ ὐδέποτε ἐκεῖ ὕει· ᾗ ἔν τισι μὲν τῶν μερῶν αὐτῆς θερμότατος ὁ ἀὴρ, ἔν τισι δὲ ψυχρότατος. διαιρεῖται δὲ ὑπὸ τῶν Ἱσπανῶν εἰς ἐπαρχίας 3.

1. Εἰς τὴν Κυϊτόν.

2. — Λίμαν, ἢ Λοσρέυες.

3. — Λοσκάρκας, ἢ Πλάταν.

Αἵτινες ὑπὸ ἡγεμόνος διοικῦνται πλυσιωτάτυ, ᾗ τόπον Βασιλέως ἐπέχοντος.

3. Τὸ Χίλι, ἢ Χιλία, ἧς ἡ γῆ καρποφόρος καὶ εὐγεώργητος. ὀπώρων, δένδρων, φυτῶν, καὶ παντὸς εἴδους πλουτήστε μετάλλων. Τὸ δ' πλεῖστον αὐτῆς μέρος ὑπὸ τῶν αὐτοχθόνων Ἰνδῶν οἰκεῖται· οἵτινες ὐδὲ πόλεις, ὐδὲ χωρία ἔχουσιν, ὐδὲ Βασιλέα, ὐδὲ Ἄρχοντα, ἀλλὰ καλυβῆταί εἰσιν, ἀρχηγὺς ἔχοντας τὺς πατριάρχας· ὓς οἱ Ἱσπανοὶ Κατζίκους καλῦσι· τῇ πολυγαμίᾳ δὲ καὶ τῇ μέθῃ ἔκδοτοι, καὶ Ἱππεφάγοι.

4. Εἰς τὴν Μαγελλανικὴν γῆν, ἢ Μαγελλανίαν τὴν ὔπω ἀκριβῶς ἐγνωσμένην, καὶ ὑπὸ ἀγρίων ἀνθρώπων ᾠκημένην.

Αἱ τρεῖς δὲ αὗται ἐπαρχίαι, τυτέστιν ἡ Περυβία, ἡ Χιλία, καὶ ἡ Μαγελλανία ὑπὸ τὴν τῶν Ἱσπανῶν εἰσὶν ἐξυσίαν.

5. Εἰς τὸ Παραγυαί, ἢ Παρακυαΐα, τὸ τοῖς Ἱσπανοῖς καὶ Λυσιτανοῖς ὑπεῖκον, καὶ τὸ περιέχον ἐπαρχίας 5.

1. Τὸ Τυμυκάν.

2. Τὴν Σαντακρὺξ ἤτοι σαυρὸν ἅγιον.

3. Σιέῤῥα.

4. Κυρίως Παρακυαΐαν, καὶ

5. Τὸ Ῥίον τῆς Πλάτης.

Ἐν τῇ τῦ Παραγυαΐ ἐπαρχίᾳ οἱ Ἰησυῖται πολλὰς ἀγέλας λαῶν Ἰνδῶν συναγαγόντες, καὶ ἐν τοῖς δρυμοῖς καὶ ὄρεσιν αὐτὺς οἰκίσαντες, τὰς τέχνας, καὶ τὴν εἰς χρισὸν ἐξεδίδαξαν πίστιν, καὶ τὰ πολεμικά· (ὗτοί εἰσιν οἱ ἐκλεκτότεροι τῶν ἐν τῇ Ἀμερικῇ σρατιωτῶν) καὶ βίον δὲ κοινὸν αὐτοῖς διδάξαντες, καὶ τὺς πόνυς αὐτῶν σφετεριζόμενοι, καὶ Ἡγεμόνες αὐτῶν ὑπάρχοντες, πλῦτον ἐθησαύριζον πολύν.

6. Εἰς τὸ Βρεσὶλ, ἢ Βρασιλίαν, τὴν ἔτει 1500

ὑπὸ τῶν Λυσιτανῶν εὑρεθεῖσαν, ϗ διαιρημένην εἰς 15 μέρη· ὧν ὀκτὼ μὲν ἀμέσως τῷ τῶν Λυσιτανῶν Βασιλεῖ ὑπόκειται, τὰ δὲ λοιπὰ ἰδίοις δεσπόταις, τοῖς ἐνοικήσασιν αὐτά. Ἔςι δὲ ὁ μὲν ἐν αὐτῇ ἀὴρ ὑγιεινὸς καίτοι θερμὸς, τὸ δὲ ὕδωρ ἄριςον, ἡ δὲ γῆ καρποφορωτάτη, ϗ ξυλοφόρος ϗ Ζαχαροφόρος, ὑπὲρ πᾶσαν ἄλλην γῆν. δένδρα δὲ ϗ φυτὰ ἐν αὐτῇ ἐν τῇ Εὐρώπῃ ἀγνοούμενα, ὁμοίως ϗ ζῶα, ϗ πετηνά, ἐν οἷς ϗ τὸ καλούμενον Κολίβρι, μυίᾳ ἰσομέγεθες, ϗ ὥσπερ ἀηδὼν ᾄδων. εὕρηται δὲ ἐν αὐτῇ ϗ τέταρτον εἶδος ἄνθρακος ϗ τοπαζίυ. οἱ δὲ πολιςαὶ τῆς Βραζιλίας Λυσιτανοί εἰσι, ϗ πλῆθος λαῶν μὴ ὑπεικόντων αὐτοῖς. εἰσὶ δὲ ὗτοι ἄγριοι, γυμνοὶ, ῥωμαλαῖοι, περιχαρεῖς, μὴ φιλάσθενοι, μακρόβιοι, μηδὲ Βασιλέα ἔχοντες, μηδὲ ἡγεμόνα, μηδὲ ναὸν, μηδὲ σημεῖα ἐμφαντικὰ θρησκείας. Ἑορτὰς δὲ τελῦσι πηδῶντες, ϗ χορεύοντες, μάλιςα ὅτε φαγεῖν μέλλυσί τινα αἰχμάλωτον. ϗ γὰρ ἀνθρωποφάγοι εἰσὶν οἱ τάλανες τὺς κρατηθέντας ὑπ' αὐτῶν ἐχθρὺς παχύνοντες, ἐὰν ξηροὶ ὦσι, ϗ σφάζοντες, ϗ κατεσθίοντες. διηνεκῶς δὲ μάχονται. ϗ τὺς γείτονας αὐτῶν πολεμῦσι.

7. Ἡ τῶν Ἀμαζόνων χώρα, ἀπὸ τῦ ποταμῦ τῶν Ἀμαζόνων τῦ ἐν αὐτῇ ὕτως ὀνομασθεῖσα· περὶ τὰς ὄχθας δὲ τῦ ποταμῦ χωρία τινὰ εἰσὶν ὑπὸ δυτικῶν Ἰνδῶν ἐκ διαφόρων συνελθόντων τῆς Ἀμερικῆς τόπων οἰκύμενα, ϗ φρύρια ὑπὸ τῶν Λυσιτανῶν κατεσκευασμένα. ϗ ὁ μὲν ποταμὸς κροκοδείλων πλήρης, ἐν δὲ τοῖς δρυμοῖς, τοῖς περὶ αὐτὸν, Πίθοικοι, ϗ Τίγρεις, ϗ Ἔλαφοι, ϗ ἄλλα διαφόρων εἰδῶν ἄγνωςα ζῶα.

§. 530. Νῆσοι δὲ τῆς Ἀμερικῆς ἐπισημότεραι 10.

1. Ἡ τῆς νέας γῆς νῆσος, ἡ ἐν τοῖς ἀνατολικῆς

μέρεσι τῆς Ἀμερικῆς κειμένη. ξυλοφόρος δὲ ἐςι ϗ βυνῶν ϗ πεδιάδων πλήρης· πλὴν δὲ τῆς πλυσιωτάτης τῶν ἰχθύων ἄγρας ἐδὲν ἕτερον παρέχει. ταύτην εὗρον μὲν οἱ Γάλλοι κατὰ τὸ 1762. ἔτος, κατέλιπον δὲ αὐτὴν τοῖς Ἄγγλοις κατ' αὐτὸ τὸ ἔτος, ἐν ᾧ αὐτὴν εὗρον.

2. Αἱ Ἄζορες, ἢ Τερτζέρες, αἱ ἐπὶ τῆς ὁδῦ τῆς ἀπὸ τῆς Εὐρώπης ἐπὶ τὴν Ἀμερικὴν κείμεναι, τῆς Ἀφρικῆς ἀπέναντι, αἱ κατὰ τὸ 1449. ἔτος ὑπὸ τῶν Λυσιτανῶν ἐξυσιασθεῖσαι. Ἔςι δὲ ἡ ἐν αὐταῖς γῆ βυνώδης, ἔντισι δὲ τόποις σπερματοφόρος, οἰνοφόρος, ϗ ὀπωροφόρος, εἰσὶ δὲ τὸν ἀριθμὸν 9.

1. Ἡ Τερτζέρα.
2. Τῦ Ἁγίυ Μιχαὴλ.
. Τῆς Ἁγίας Μαρίας.
4. Τῦ Πίκυ.
5. Φαϋάλ.
6. Τῦ Ἁγίυ Γεωργίυ.
7. Γρατζιόσα.
8. Κόρβο, ϗ
9. Φλόρες,

3. Αἱ Ἀντίλλαι νῆσοι, αἱ ὑπὸ τῦ Κολόμβυ ἔτει 1492. εὑρεθεῖσαι, ϗ πλησίον τῦ Ἰσημερινῦ κείμεναι. ἐν αἷς ὐδέ ποτε ψύχος, τρεῖς δὲ τῦ ἐνιαυτῦ καιροὶ, ἔαρ, θέρος, ϗ φθινόπωρον. χλωρὰ δὲ διὰ παντὸς τὰ δένδρα, ϗ καρποφορῦσα ἡ ἄμπελος, ἀτελεσφόρητος δὲ ὁ σῖτος. Τέσσαρα δὲ τὰ τῶν οἰκιςῶν αὐτῶν γένη, τὸ τῶν Καραΐβων, οἵ εἰσὶν αὐτόχθονες, τὸ τῶν Γάλλων, τὸ τῶν Ἄγγλων, ϗ τὸ τῶν Ὀλλανδῶν· εἰσὶ δὲ αἱ νῆσοι αὗται 28, ὧν ἐπισημότεραι αἱ ἑξῆς τέσσαρες.

4. Ἡ Κῦβα, ἡ ὑπὸ τὺς Ἰσπανὺς, οἵτινες διαφ-

θείραντες πάντας τὰς παλαιὰς οἰκιστὰς, μέλανας ἐπαγαγόντες ἐγκατῴκισαν, μεταλλεύοντας, καὶ Νικοτιανὴν, καὶ Σάκχαρ κατασκευάζοντας, δι᾽ ὧν ἡ κυριωτέρα τῶν ἐν τῇ νήσῳ ἐμπορίων γίνεται. ψιττακῶν δὲ πλῆθος ἐν αὐτῇ, καὶ περδίκων, καὶ τρυγόνων, καὶ χρυσίον δὲ ἐν αὐτῇ μεταλλεύεται καὶ κύπρις. καὶ λιμὴν ἐν αὐτῇ εὐρυχωρότατος, κἂν στενώτατον ἔχῃ στόμα.

5. Ἡ τὰ Σανδομίνγου, St. Domingue, ἐν ᾗ ὁ μὲν ἀὴρ λίαν θερμὸς καὶ νοσώδης, ἡ δὲ γῆ καρποφόρος, χρυσίον ὑπὲρ πᾶσαν ἄλλην ἐμπεριέχουσα. ταύτης τὸ μὲν ἀνατολικὸν μέρος ὑπὸ τὴν Ἱσπανῶν ἐξουσίαν ἐστὶ, τὸ δὲ δυτικὸν ὑπὸ τὴν τῶν Γάλλων.

6. Ἡ Ἰαμάϊκα, ἡ ὑπὸ τοὺς Ἄγγλους· ἧς ἡ γῆ Σάκχαρ, καὶ Νικοτειανὴν, καὶ Κακάο, καὶ Πάμβακα λεπτότατον φύει· ἔστι δὲ ἐν τοῖς ὄρεσιν αὐτῆς δένδρον, Λαγέτον ὑπὸ τῶν πολιστῶν καλούμενον, οὗ τὰ μὲν φύλλα δάφνης ὅμοια, ἡ δὲ ἐκτὸς φλοιὰ, τῇ τῶν λοιπῶν δένδρων, τὸ δὲ λοιπὸν τὸ ἐντὸς, ὃ λευκὸν καὶ στερεὸν δοκεῖ ἐκ 12, ἢ 14 οἱονεὶ σπαργάνων σύγκειται ῥᾳδίως ἀπ᾽ ἀλλήλων ἀποχωριζομένων· ὧν τὸ πρῶτον πέπλον πεπυκνωμένον ἐστὶν, ἁρμόδιον τῇ τῶν ἔξω ἱματίων κατασκευῇ, τὰ δὲ ἐνδότερα, οἷον λίνα, ἐξ ὧν οἱ ἔνδον χιτῶνες.

7. Ἡ Πορτορίκο, ἡ ὑπὸ τοὺς Ἱσπανοὺς, σπερματοφόρος, καὶ ὀπωροφόρος, καὶ θρεμμοτρόφος, πλῆθος τε χρυσίου ἐμπεριέχουσα, ἐξ οὗ καὶ τὴν ὀνομασίαν ἔσχε· τὸ γὰρ Πορτορίκο λιμένα πλούσιον σημαίνει.

8. Ἡ Κουρακάο, ἡ ὑπὸ τοὺς Ὀλλανδοὺς, Σακχαροφόρος, καὶ Ἐριοφόρος· ἔστι δὲ ἐν αὐτῇ καὶ Ἑβραϊκὴ συναγωγή.

9. Ἡ Μαλούμης.

10. Ἡ Τερρίγνις, ἤτουν Γῆ πυρός.

§. 531. Πόλεις δὲ ἐν τῇ Ἀμερικῇ αἱ ἐπισημότεραι 20.

1. Τὸ Μέξικον, πόλις πρωτεύουσα τῆς νέας Ἱσπανίας.
2. Ἡ Ἀκαπούλκο,
3. Ἡ Γουατιμάλο, ϗ
4. Βερακρούζ, Vera-Cruz, πόλεις παράλιοι τῆς αὐτῆς ἐπαρχίας.
5. Σανταφὲ, Santa-Fe, πρωτεύουσα τοῦ νέου Μεξίκου,
6. Κουεβὲκ, Quebec, τῆς Καναάδης,
7. Βοστὸν, τῆς Βιργινίας,
8. Ἀβάνα, τῆς νήσου Κούβης,
9. Σανδομίνγος, St. Domingue, πρωτεύουσα τῆς ὁμωνύμου αὐτῇ νήσου,
10. Πορτοβέλλο, Porto-bello, ἤτουν λιμὴν ὡραῖος.
11. Πάναμα, Panama, ϗ
12. Καρθαγένη, Karthagene, παράλιοι πόλεις ἐν τῇ Ἠπείρῳ,
13. Λίμα, Lima, πρωτεύουσα τῆς Περουβίας,
14. Κοῖτο, Quito, ϗ
15. Κούσκο, Cusco, πόλεις ἐπίσημοι ἐν τῇ αὐτῇ ἐπαρχίᾳ,
16. Σανϊάγο, San-jago, πρωτεύουσα τῆς Χιλίας.
17. Ἀσσομπτιὼν, Assomption, τουτέστιν ἡ Ἀνάληψις τοῦ Παραγουάϊ.
18. Βουενοσάϋρες, Buenos-Ayres, παράλιος ϗ ἐμπορικὴ πόλις τῆς αὐτῆς ἐπαρχίας.
19. Σανσαλβαδὸρ, San-Salvator, ἅγιος Σωτὴρ τοῦ Βρεσὶλ πρωτεύουσα.
20. Ὀλίνδα, Olinde, ἢ Φερνσαμβοῦκ, Fernambuc, παράλιος ϗ ἐμπορικὴ πόλις τῆς αὐτῆς ἐπαρχίας.

§. 532. Ποταμοὶ δὲ μεγάλοι ἐν τῇ Ἀμερικῇ 6.

Ἐν μὲν τῇ Καναδῇ.

1. Ὁ τοῦ ἁγίου Λαυρεντίου, St. Laurent, ἰχθυοτρόφος, ἄγνωστον ἔχων τὴν ἀρχὴν, καὶ εἰς ὁμώνυμον αὐτοῦ εἰσρέων κόλπον.

2. Ὁ Μισσισσίπιος, ἢ Μισσίσσιπι, Mississipi, ὁ μέρος τῆς Ἀμερικῆς μέγα, καὶ ὑπὸ ἀγρίων οἰκήμενον ποτίζων, καὶ εἰς τὸν Μέξικον εἰσρέων κόλπον.

Ἐν δὲ τῇ Ἠπείρῳ,

3. Ὁ Ὀρενόκος, Orenoque, ὁ ἐκ τῆς Ποπαϋὰν, Popayan, ἐκβλύζων, καὶ εἰς τὴν θάλασσαν διὰ στομάτων ἑξ εἰσρέων· οἰκοῦσι δὲ τὰς ὄχθας αὐτοῦ ἄγριοι, εὔμορφοι, καὶ ἐγρήγοροι, γυμνοὶ δὲ καὶ τὰ ὦτα μόνον καὶ τὰς ῥῖνας διαφόροις κοσμαρίοις διακοσμοῦντες, ὁρμίσκους τε περιτιθέμενοι ἐξ ὀδόντων κατεσκευασμένους τῶν ὑπ' αὐτῶν φονευθέντων ἀνθρώπων. οὗτοι θέρους μὲν ἐν γῇ, χειμῶνος δὲ ἐπὶ δένδρων οἰκοῦσι, τὰς τοῦ ποταμοῦ πλημμύρας δεδιότες. ἰχθυοφάγοι δέ εἰσι καὶ θήρᾳ τρεφόμενοι· ὁ δὲ ἔξαρχος αὐτῶν τῷ ἰδίῳ αἵματι τοὺς ἀσθενεῖς ἀλείφειν ὀφείλει. διὸ δὴ καὶ τὴν ἰδίαν ζωὴν ἐνίοτε ἀπόλλυσιν. Ἄτιμος δὲ λογίζεται ὁ ἀνὴρ, ἐὰν ἡ γυνὴ αὐτοῦ δίδυμα τέξῃ.

4. Ὁ Σουρινάμης, Suriname, ὁ ἐν τῇ αὐτῇ χώρᾳ.

5. Ὁ τῶν Ἀμαζόνων ὁ τὴν ὁμώνυμον αὐτῷ ποτίζων ἐπαρχίαν, καὶ

6. Πλάτας, Rio de la Plata, ὁ ἐκ τῆς Περσίας ἐκβλύζων, καὶ διὰ τοῦ Παραγυαΐ εἰς τὴν θάλασσαν καταδυόμενος.

§. 533. Πορθμοὶ δὲ ἐπίσημοι 4.

1. Ὁ Οὔδσων, Hudson, ὁ ἐν τῇ νέᾳ Βρεττανίᾳ, καὶ

2. Ὁ Οὐδοῦρας, Houdures, ὁ μεταξὺ τῶν νήσων Πορτορίκο ϗ Κυρακάο.

3. Ὁ τοῦ Δάυις, ὁ ἐν τοῖς Ἀρκτώοις τοῖς Ἀμερικοῖς μέρεσι, μεταξὺ τῆς νήσου τοῦ Ἰακώβου, Jacques, ϗ τοῦ δυτικοῦ τῆς Γροενλανδίας μέρους, ὑπὸ τῶν Ἄγγλων ἔτει 1585 εὑρεθείς. οἱ πέριξ δὲ αὐτοῦ οἰκοῦντες ἄγριοι εἰσι, σκηνῆται, ἁλῖται, ἰχθυοφάγοι, ϗ τῇ ὠμῇ τρεφόμενοι θήρᾳ, μακρόβιοι, ϗ γὰρ πλέον, ἢ ἔτη 100 ζῶσιν. ἥδυτατον δὲ ἡγοῦνται ποτὸν τῶν ὑπ' αὐτῶν ἀποκτεινομένων ζώων τὸ αἷμα. ῥωμαλαῖοι δέ εἰσι, ϗ ἀκριβῆ τῶν ἀστέρων γνῶσιν ἔχουσιν, ἐπιτήδειοί τε εἰσι μικροῖς πλοιαρίοις διαπλέειν τὴν θάλασσαν. ϗ δύω μὲν μῆνες ἐν αὐτοῖς Δεκέμβριος, ϗ Ἰαννουάριος μία νὺξ ἐστι συνεχής, δύω δὲ, Ἰούνιος, ϗ Ἰούλιος, θέρος, ϗ ἡμέρα ἀδιάκοπος· τὸ δὲ τοῦ τόπου αὐτῶν πλάτος, μοῖραι 64, ϗ λεπτὰ 10, ϗ

4. Ὁ Μαγελλανικὸς, τούτοις πρόσθες ϗ τρίτον, τὸν περὶ τὸ μέσον τῆς Ἀμερικῆς, τὸν μεταξὺ τῆς Βορείου ϗ Νοτίου, τουτέστι τὸν τοῦ Πάναμα.

§. 534. Κόλποι δὲ 2.

1. Ὁ τοῦ Μεξικοῦ, ϗ
2. Ὁ τοῦ Πάναμα.

§. 535. Ἀκρωτήρια δὲ, 4.

1. Τὸ Βρετὼν, Breton, τὸ ἐν τῇ Βιργινίᾳ,
2. Νὸρδ, Nord, τὸ ἐν τῇ Ἠπείρῳ,
3. Ὄρν, Horn, τὸ ἐν τῇ Γῇ τοῦ πυρός,
4. Κοριέντες, Coriente, τὸ ἐν τῇ νέᾳ Ἱσπανίᾳ.

§. 536. Ὄρη δὲ ἐπίσημα.

Τὰ Κορδιλλιέρες, Cordillieres, ἢ Ἄνδες, Andes,

τὰ ἀποχωρίζοντα τὸ Περὺ τῆς τῶν Ἀμαζόνων γῆς· ὄρη ὑψηλότερα πάντων τῶν ἐπὶ γῆς νομιζόμενα, ϗ

Τὰ Κορδιλλιέρες, τὰ ἐν τῇ Βρασιλίᾳ.

§. 538. Περατῦται δὲ ἡ Ἀμερικὴ κατὰ μὲν Δυσμὰς, ὑπὸ τῆς Συνδίυ, ἢ γαληνῆς θαλάσσης, κατὰ δὲ Μεσημβρίαν, ὑπὸ τῆς αὐτῆς Συνδίυ, ἢ Μαγελλανικῆς θαλάσσης, κατὰ δὲ Ἀνατολὰς ὑπὸ τῦ Βορείυ Ὠκεανῦ, ἢ τῆς Ἀτλαντικῆς θαλάσσης· κατὰ δὲ Ἄρκτον ὑπὸ τῆς ἀγνώςυ γῆς, ϗ τῦ Οὔδσα πορθμῦ, ϗ τοῦ ἰσθμῦ Δάυις.

§. 539. Τῶν ἐπ' εὐθείας ἐκτάσεων ἡ κατὰ μῆκος τῆς μὲν Βορείυ Ἀμερικῆς ἴση μιλίοις περίπυ 800· τῆς δὲ Νοτίυ 715· τῆς δὲ κατὰ τὸ μέσον τῆς μεταξὺ τῦ Πάναμα ϗ τῦ Πορτοβέλλυ, Porto-bello, 45· ἡ δὲ κατὰ πλάτος ἔκτασις, ἡ μεγίςη, ἡ ἀπὸ τῦ Ἀκρωτηρίυ ὄρν, ἄχρι τῦ ἰσθμῦ Δάυις 1800.

§. 540. Τὸ μὲν τῆς Ἀμερικῆς Μῆκος ἄρχεται μετὰ τὴν 230 μοῖραν, ἐπεκτείνεται δὲ ἄχρι τῆς 350· τὸ δὲ πλάτος, τὸ βόρειον μὲν ἀπὸ τῦ Ἰσημερινῦ ἄχρι τῆς 70 μοίρας· τὸ δὲ νότιον ἀπὸ τῦ Ἰσημερινῦ ἄχρι τῆς 56.

## Σημείωσις.

(N) Γενικὴ Διαίρεσις τῆς Ἀμερικῆς.

Ἀμερικὴ Βόρειος.

| Ἐπαρχίαι. | Πρωτεύυσαι πόλεις. | Ἐξυσιαςαί |
|---|---|---|
| Νέα Βρετανία . . | . . . . . . . | Ἐγγλέζοι. |
| Καναδᾶ . . . . | Κυεβὲκ . . . | Ὁμοίως. |
| Νέα Ἐκοσσία . . | Χαλιφὰξ . . . | Ὁμοίως. |
| Νέα Βρυνσβίκη . . | Σιλβῦρνον . . | Ὁμοίως. |
| Επαρχίαι ἡνωμέναι . | Φιλαδέλφια . . | Ἐγγλέζο - Ἀμερικάνοι. |

| | | |
|---|---|---|
| Φλορίδα ἀνατολικὴ . | Ἅγιος Αὐγουστῖνος | |
| Φλορίδα δυτικὴ . . | Πενσακόλα . . | |
| Λουϊσιάνα . . . . | Νέον Ὀρλεὰν . | |
| Νέον Μεξικὸν, ἢ Καλινοφορνία . . . | Ἁγία Πίστις . . / Ἅγιος Ἰωάννης . | Ἱσπανοί. |
| Μεξικὸν ἢ Νέα Ἱσπανία . . . . | | |

## Ἀμερικὴ Νότειος.

| | | |
|---|---|---|
| Τέῤῥα Φέρμα . . | Παναμὰ . . . | Ἱσπανία. |
| Περοὺ . . . . . | Λιμὰ . . . . | Ὁμοίως. |
| Παραγγουάη, ἢ Πλάτα | Βουένος-Ἄϊρες . | Ὁμοίως. |
| Χιλὶ . . . . . | Ἅγιος Ἰάγγος . | Ὁμοίως. |
| Βρεσὶλ . . . . | Ἅγιος Σεβαστιανὸς | Πορτογαλλία. |
| Ἀμαζονία . . . . | . . . . . . . . . . . | . . . . . . |
| Γουϊάνα . . . . | Συρινὰμ . . . | Ὀλλάνδα. |
| | Καγιέννα . . . | Φράνσσα. |
| Γῆ Μαγγελανικὴ | . . . . . . . | Ἱσπανοί. |

Τέλος.

## Σημείωσις.

Ἀφ' οὗ ὁ Συγγραφεύς μας συνέγραψε τὴν παροῦσαν Γεωγραφίαν, ἔγειναν μεγάλαι ἐφευρέσεις εἰς τὴν σφαῖράν μας. Οἱ περίπλοι τοῦ Καπετὰν Κοὸκ μᾶς ἀνεκάλυψαν ὄχι μόνον νέας νήσους, ἀλλὰ καὶ πολλὰ ἄλλα ἀξιόλογα τῆς φυσικῆς Ἱστορίας· ὡς ἔνεστιν ἰδεῖν ἐν τῇ ἐκδοθησομένῃ ἤδη Ἱστορίᾳ τῶν περίπλων τούτου τοῦ περιφήμου ἀνδρός. Αἱ ἀξιολογώτεραι νῆσοι ὁποῦ ἤδη ἀνεκαλύφθησαν εἰσὶν αὗται.

Αἱ ἐν τῷ ἀρχιπελάγει, μεταξὺ Καμτζάτκας καὶ τῆς Ἀμερικῆς.

Ἀλλευτιέναι, καὶ ἀλώπεκες καλούμεναι.

Αἱ νῆσοι τοῦ Πέλεβ.

Αἱ νῆσοι τῆς Μαρκέζας.

Ἡ Ὀταΐτη· ἡ νῆσος τοῦ Βασιλέως Γεωργίου.

Αἱ νῆσοι τῆς Συντροφίας.

Ἡ Ὀστερόα.

Αἱ νῆσοι τῆς Φιλίας.

Ἡ Καλλιδονία.

Ἡ Νορφόλκ.

Ἡ νέα Ζελλανδία.

Νέαι Εὐρίδες.

Νέα Ὀλανδία.

Νέα Γυϊνέα.

Αἱ νῆσοι τοῦ Σάνδβιχ· ἐξ ὧν μία ἐστὶν ἡ Ὀβαΐχη, ἔνθα ἐφονεύθη ὑπὸ τῶν ἐγκατοίκων ὁ Καπετὰν Κοόκ.

Ἡ νῆσος Χίλαο ἢ Ἴεσο καὶ Τχόκα πλησίον τοῦ Ταρταρικοῦ πορθμοῦ ὑπὸ τοῦ Καπετὰν δελλὰ Περούση καὶ ἄλλαι πολλαί, περὶ ὧν χρειάζεται διεξοδικωτέρα πραγματεία.

ΒΙΒΛΙΟΘΗΚΗ ΤΗΣ ΒΟΥΛΗΣ ΤΩΝ ΕΛΛΗΝΩΝ

# Παροράματα.

| Σελ. | Στίχ. | | Ἀνάγνω. |
|---|---|---|---|
| 41 | 17 | de terminée | determinée. |
| 76 (α) | 2 | Ἐλύσια | Ἠλύσια. |
| 217 | 17 | διφέρων | διφθέρων. |
| 208 | 5 | ὑποτέχθησαν | ὑποτάχθησαν. |
| 236 | 7 | Μισσισία | Μισσισσιπὶς Π: |
| *Παραγρ.* | Στίχ. | | |
| §. 60. | 2 | ἐν αὐτῷ | ἐνιαυτῷ |
| §. 77. | 3 | λόγων | λόγον |
| §. 83. | 1 | *Πέντε* | *Ἑπτά.* |
| §. 85. | 7 | ἐνιατὸς | ἐνιαυτὸς |
| § 115. | 3 | δανύει | διανύει. |
| §. 125. | 2 | ὑπὸ τῶν | ὑπὸ τὸν |
| §. 129. | 5 | δεοκαίδεκα | δυωκαίδεκα |
| §. 130. | 2 | ἐμφαίνον | ἐμφαίνων |
| §. 158. | 12 | περίςρυψον | περίςριψον |
| — | — | — *Ἀντίποδες* | *Ἀντίποδας* |
| §. 169. | 5 | ἐνάστης | ἀνάστης |
| §. 196. | (α) | ἀναγναῖον | ἀναγκαῖον |
| § 255. | 21 | ἡγεμόνον ϗ μεγιςάνοι | ἡγεμόνα ϗ μεγιςᾶνα |
| §. 322. | 3 | κάθυγρων | κάθυγρον |
| § 431. | 6 | πρόσκειται | πρόσκεινται |
| § 458. | 1 | *Εὔτιμοι* | *Ἔυτιμοι* |
| §. 494. | 4 | *Ἰνβία* | *Ἰνδία* |
| §. 522. | 7 | λειπὸν | λοιπῶν |
| §. 529. | 4 | Θιασίμων | Θηρασίμων |

---


Σχ. 1.
σχ. 2.
σχ. 3.
σχ. 4.
σχ. 5.
σχ. 6
σχ. 7.
σχ. 9.
90
180
360
270
Ὀρθὴ γωνία
Ὀξεῖα γων.
Διαγών.
Κάθετος
Ὑποτείνουσα
Βάσις
Ῥόμβος
Παραλληλόγραμμον
Τετράγωνον
Τραπέζιον


Ἰσημερινὸς
ὁ Ὁρίζων
Καρκίνου

Πίν. 3.




σχ. 23.


σχ. 24.



Πίνα. 6.




ΠΙΝΑΞ
ΚΑΘΟΛΙΚΟΣ
τῶν δύο
ἡμισφαιρίων
ὑπὸ
Ἀ. Λ. Γαζῆ.
ΩΚΕΑΝΟΣ ΒΟΡΕΙΟΣ
ΑΜΕΡΙΚΗ
ΒΟΡΕΙΟΣ
ΩΚΕΑΝΟΣ
ΑΤΛΑΝΤΙΚΟΣ
ΔΥΤΙΚΟΣ
ΩΚΕΑΝΟΣ
ΓΑΛΗΝΙΚΟΣ
ΙΣΗΜΕΡΙΝΟΣ
ΑΜΕΡΙΚΗ
ΝΟΤΕΙΟΣ
ΝΕΑ ΖΕΕΛΑΝ-ΔΙΑ
ΘΑΛΑΣΣΑ τοῦ ΣΟΥΝΔ
ΩΚΕΑΝΟΣ ΝΟΤΕΙΟΣ
Πόλος Ἀνταρκτικός
ΑΦΡΙΚΗ
ΤΑΡΤΑΡΙΑ
ΘΑΛΑΣΣΑ ΙΝΔΙΚΗ
ΟΛΛΑΝΔΙΑ
ΩΚΕΑΝΟΣ ΝΟΤΕΙΟΣ
Κύκλος Πολικὸς Ἀνταρκτικός